MASTER
NEGATIVE
NO. 92-80596-3

MICROFILMED 1992

COLUMBIA UNIVERSITY LIBRARIES/NEW YORK

as part of the
"Foundations of Western Civilization Preservation Project"

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

Reproductions may not be made without permission from
Columbia University Library

COPYRIGHT STATEMENT

The copyright law of the United States -- Title 17, United States Code -- concerns the making of photocopies or other reproductions of copyrighted material...

Columbia University Library reserves the right to refuse to accept a copy order if, in its judgement, fulfillment of the order would involve violation of the copyright law.

AUTHOR:

BAENTIZ, M.

TITLE:

TEXT EINER ZUSAMMEN-HANGENDEN...

PLACE:

LEIPZIG

DATE:

1899

Master Negative #

92-80596-3

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

887.5
Z8
v.13

Baenitz, M
...Text einer zusammenhängenden griechischen lektüre für das ganze jahr der untertertia, von Prof. M. Baenitz. Leipzig, Teubner, 1899.
32 p. 21½ cm.

At head of title: Beilage zum XXX. Jahresbericht des Gymnasiums zu Schneidemühl...

Volume of pamphlets

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35MM REDUCTION RATIO: 11X
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 5/22/92 INITIALS TM
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT


AIIM
Association for Information and Image Management
1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910
301/587-8202
Centimeter
1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm
Inches
1 2 3 4 5
MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

887.07
Z 81
no 3

BEILAGE ZUM
XXX. JAHRESBERICHT DES GYMNASIUMS ZU SCHNEIDEMÜHL
OSTERN 1899.

TEXT EINER ZUSAMMENHÄNGENDEN GRIECHISCHEN LEKTÜRE FÜR DAS GANZE JAHR DER UNTERTERTIA.

Von

Prof. M. BAENITZ.

DRUCK VON B. G. TEUBNER IN LEIPZIG.
1899.

1899. Progr. Nr. 174.

Im 1891er Lehrplan des Griechischen für Untertertia heifst es: „Lektüre nach einem geeigneten Lehrbuch; dieselbe wird sofort begonnen und geht möglichst bald zu zusammenhängenden Lesestücken über. Der Stoff ist der griechischen Sage und Geschichte zu entnehmen. — Es ist darauf zu achten, dafs nur solche Wörter vorkommen, die regelmäfsig in den Schulschriftstellern wiederkehren, und dafs alle unregelmäfsigen Formen wegbleiben."

Es kann der Sinn des auf die zusammenhängende Lektüre bezüglichen Wortlautes offenbar nur der sein, „dafs eine zusammenhängende griech. Lektüre in U III schon nach wenigen Wochen des Unterrichts beginnen und von nun an den gesamten Jahresunterricht der U III begleiten soll".

1. Eine solche Lektüre in wirklich geeigneter Form zu schaffen, ist höchst schwierig, und zwar hauptsächlich aus folgenden Gründen.

a) In keinem Augenblick der Lektüre darf die geringe Formenkenntnis, die der Schüler aus dem bisherigen grammatischen Unterricht erworben hat, überschritten werden; denn nur eine so gestaltete Lektüre kann beim Schüler eine Befestigung der bisher mühsam erworbenen Formen bewirken; eine Lektüre hingegen, die mit Formen arbeitet, welche nach dem bisherigen Lehrgange für den Schüler noch völlig unfafsbar sind, ist für den Schüler eine schwer zu überwindende Mühsal und macht ihn in seinen grammatischen Anschauungen und Kenntnissen nicht sicher, sondern unsicher. (Dafs zuweilen eine einzelne noch nicht dagewesene Form vokabelmäfsig erlernt wird, braucht dabei nicht völlig ausgeschlossen zu sein.)

b) Eine andere bedeutende Schwierigkeit erhebt sich dadurch, dafs die Lektüre von dem Untertertianer durchaus mit

Leichtigkeit erfafst und verstanden werden soll. Es zwingt hierzu zunächst der Umstand, dafs das schnelle grammatische Vorwärtsgehen (zu dem die Gröfse des Pensums der U III nötigt) für die Lektüre nur eine verhältnismäfsig kurze Zeit übrig läfst. Sodann ist Leichtigkeit und Durchsichtigkeit der Lektüre aus dem Grunde ein dringendes Bedürfnis, weil der Schüler (der durch die Fülle der schweren grammatischen Formen und Begriffe schon aufs äufserste angestrengt ist) nun in der Lektüre eine gewisse Beruhigung, Erholung und Erfrischung finden soll, nicht aber neue Schwierigkeiten. Es wird also die Forderung „leichte Faſslichkeit der Lektüre für den Untertertianer“ unter allen Umständen gewahrt bleiben müssen.

Diese leichte Faſslichkeit zwingt aber, den Satzbau überwiegend parataktisch zu gestalten und ihm so die gröfste Einfachheit zu geben, die erst allmählich zu einiger Sub- und Superordination aufsteigen kann. Auch der Vokabelkreis wird, wenn man leichte und schnelle Faſslichkeit der Lektüre festhalten will, ein eng begrenzter sein müssen.

2. Um der erwähnten Schwierigkeiten womöglich Herr zu werden, habe ich die in meinem griech. Übungsbuche für U III von 1895 gebotene zusammenhängende Lektüre (persisch-griechische Geschichte von Kyros dem Älteren bis Kyros dem Jüngeren) einer gründlichen Durcharbeitung nach den angeregten Gesichtspunkten unterzogen. Zugleich ist der Umfang der persisch-griechischen Geschichte bedeutend verringert, und damit die zusammenhängende Lektüre schon nach den ersten Wochen des Unterrichts beginnen kann, sind zwei kleine Anfangserzählungen neu geschaffen worden („Krieg der Sieben gegen Theben“ und „Ursache des trojanischen Krieges“).

Ich hoffe, dafs die jetzt gebotene Lektüre für den Untertertianer so leicht und durchsichtig ist, dafs er sie im Laufe des Jahres bequem in ihrer ganzen Masse bewältigen kann, und dafs diese Erfahrung selbst derjenige Lehrer machen wird, der für eine zusammenhängende Lektüre nur eine minimale Zeit übrig zu haben glaubt. (Die folgende Lektüre zählt 21 Seiten, wovon aber fast 6 Seiten auf den letzten Abschnitt, Verbum liqu., entfallen.)

Der Ansicht, dafs eine zusammenhängende Lektüre in U III überhaupt nicht oder so gut wie gar nicht betrieben werden könne, kann ich aus dem Grunde nicht beistimmen, weil sonst auch in Obertertia die Anabasislektüre nicht mehr frühzeitig genug (d. i. nach dem ersten Quartal) ernstlich und erfolgreich in Angriff genommen werden kann, und ferner in noch weiter gehendem Rückschlag auch das für die Abschlufsprüfung der IIb verlangte Pensum nicht mehr wirklich vorhanden sein kann.

Solange wir die Anforderungen von 1891 haben, mufs man auch bereit sein, dem Untertertianer täglich 20—30 Minuten häuslicher Arbeit im Griechischen zuzumuten, — und mit dieser häuslichen Arbeitszeit kann er das Pensum und die nachfolgend gegebene Lektüre bequem und fröhlich bewältigen. Das Einlesen in die Lektüre, das selbstthätige Erkennen der Formen und ihrer Verknüpfung mit einander, sowie die Erfassung des Sinnes im einzelnen Worte und im ganzen Zusammenhange wird dem Schüler sein grammatisches Pensum ganz anders vertraut machen und beleben, als es das bloſse Formen-Exerzieren verbunden mit einigen Einzelsätzen vermag. —

Da das grammatische Pensum der U III einerseits und die zusammenhängende Lektüre anderseits im Umfange der Formenlehre, der Vokabelmasse und der syntaktischen Regeln in Übereinstimmung stehen sollen, so erscheint hier die Lektüre zunächst für sich allein, um das Urteil der Fachgenossen über ihre Angemessenheit hervorzurufen. Der neben der Lektüre hergehende grammatische Lehrgang für U III soll nachfolgen. — (Die zur Erleichterung des Schülers gegebenen Anmerkungen zur Lektüre folgen hinter dem gesamten griechischen Text).

Vor A ist durchgenommen: 2. und 1. Deklination (ohne Contracta) — Präsens und Imperfect Activi und Passivi des Verbum auf ω.

A. Der Krieg der Sieben gegen Theben.

I. Bruderzwist des Eteokles und Polyneikes. — 1. *Ἐπεὶ Οἰδίπους ἀπέθνησκεν, οἱ υἱοὶ αὐτοῦ, Ἐτεοκλῆς καὶ Πολυνείκης,*

τῶν Θηβῶν ἐβασίλευον. 2. Ἀλλὰ Ἐτεοκλῆς τὸν ἀδελφὸν ἐκβάλλει ἐκ τῶν Θηβῶν καὶ ἐβασίλευε μόνος. 3. Ὁ δὲ Πολυνείκης φεύγει πρὸς Ἄδραστον, ὃς τῶν Ἀργείων ἐβασίλευε, καὶ πείθει αὐτόν, σύμμαχον εἶναι. 4. Καὶ Ἄδραστος ἀθροίζει πολλοὺς ἐκ τῆς Πελοποννήσου στρατιώτας καὶ στρατεύει ἐπὶ τὰς Θήβας.

II. Die Argiver bestürmen Theben. — 1. Ἦσαν δὲ οἱ τῆς στρατιᾶς στρατηγοὶ ἑπτά· Ἄδραστος, Ἀμφιάραος, Καπανεύς, Ἱππομέδων, Πολυνείκης, Τυδεύς, Παρθενοπαῖος. Ὁ οὖν πόλεμος λέγεται τῶν ἑπτὰ ἐπὶ Θήβας πόλεμος. 2. Ἑπτὰ δὲ ἦσαν καὶ αἱ τῶν Θηβῶν πύλαι· τάττεται οὖν ἐπὶ ἑκάστην πύλην εἷς τῶν Ἀργείων στρατηγῶν. 3. Ἦν δὲ ἡ μάχη οὐκ ὀλίγη· καὶ Καπανεὺς ἀναβαίνει ἤδη ἀνὰ τὸ τεῖχος, ἀλλὰ Ζεὺς αὐτὸν ἀποκτείνει τῷ σκηπτῷ· οἱ δὲ Ἀργεῖοι φόβῳ τοῦ θεοῦ ἀποβαίνουσιν ὀπίσω.

III. Tod des Eteokles und des Polyneikes. — Niederlage der Argiver. 1. Ἔπειτα δὲ Ἐτεοκλῆς καὶ Πολυνείκης λέγουσιν, ὅτι εἰσὶν ἕτοιμοι, μόνω, ὁ ἕτερος ἐπὶ τὸν ἕτερον, περὶ τῆς βασιλείας ἐρίζειν. 2. Ἐπεὶ δὲ ἤριζον, παίουσιν ὁ ἕτερος τὸν ἕτερον καὶ ἀποθνήσκουσιν. 3. Τὼ δὲ στρατὼ ἠριζέτην αὖθις· φεύγουσι δ' οἱ Ἀργεῖοι, καὶ τῶν ἑπτὰ στρατηγῶν μόνος Ἄδραστος σῴζεται.

Vor B ist das Pensum vermehrt durch: 3. konsonantische Deklination ohne Vocativ Sing. — Futur und Aorist Activi des Verbum purum.

B. Ursache des trojanischen Krieges.

I. Menelaos und Helena. — 1. Τυνδάρεῳ τῷ Σπάρτης βασιλεύοντι ἦν θυγάτηρ Ἑλένη, ἡ καλλίστη ἦν πασῶν τῶν παρθένων. 2. Ἦκον δὲ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον πάντες οἱ νεανίαι οἱ βασιλεύοντες Ἑλλάδος. 3. Τυνδάρεως δὲ παρὰ τῶν νεανιῶν ὅρκον λαμβάνει, ὅτι πάντες ἐκείνῳ βοηθήσουσιν, ὃν Τυνδάρεως τῇ θυγατρὶ ἄνδρα κρίνει, — ἐάν τις αὐτῷ τὴν Ἑλένην ἁρπάζειν ἐθέλῃ. Ἔπειτα δὲ τῇ θυγατρὶ ἄνδρα κρίνει Μενέλαον, οὗ ὁ ἀδελφὸς Ἀγαμέμνων Μυκήνης ἐβασίλευεν. 4. Μετὰ δὲ ὀλίγον χρόνον Τυνδάρεως τὸν Μενέλαον τὴν Σπάρτης ἀρχὴν λαμβάνειν ἐκέλευσεν, ἐπεὶ οἱ παῖδες αὐτοῦ Κάστωρ καὶ Πολυδεύκης ἀπέθνησκον.

II. Helena von Paris geraubt. — 1. Ὕστερον δὲ Ἑλένη ὑπὸ Πάριδος ἁρπάζεται καὶ εἰς Τροίαν κομίζεται. 2. Πάρις γὰρ ὁ Πριάμου παῖς ἐν τῇ Ἴδῃ τὸν Ἥρας καὶ Ἀθηνᾶς καὶ Ἀφροδίτης ἀγῶνα ἔκρινε, τίς καλλίστη εἴη. 3. Καὶ ἡ Ἀφροδίτη ἠγόρευσε τῷ Πάριδι· Ἐὰν ἐμὲ καλλίστην κρίνῃς, τὴν καλλίστην γυναῖκα ἐπὶ γάμῳ σοι δώσω. 4. Κρίνει δὲ Πάρις, τὴν Ἀφροδίτην καλλίστην εἶναι. 5. Ἡ οὖν Ἀφροδίτη Πάριδι ἠγόρευσε, πασῶν τῶν γυναικῶν καλλίστην εἶναι Ἑλένην, τὴν Μενελάου γυναῖκα, — καὶ πείθει Πάριν εἰς Σπάρτην πλεῖν. 6. Ἐν δὲ τῇ Σπάρτῃ Πάρις ὑπὸ Μενελάου ξενίζεται. 7. Ἡ δὲ Ἀφροδίτη ἔπραττε, φιλίαν Πάριδος τὴν Ἑλένην λαμβάνειν. 8. Καὶ Πάρις καὶ Ἑλένη ἐκ Σπάρτης πρὸς θάλατταν ἀποφεύγουσι καὶ εἰς Τροίαν πλεύσιν.

III. Die Griechen versammeln sich in Aulis. — 1. Μενέλαος δὲ μιμνήσκει τοὺς βασιλεύοντας τῆς Ἑλλάδος τῶν ὅρκων, ὡς ἠγόρευσαν βοηθήσειν Μενελάῳ, εἴ τις αὐτῷ τὴν Ἑλένην ἁρπάζοι. 2. Οἱ δὲ ἕτοιμοι ἦσαν βοηθῆσαι καὶ εἰς Τροίαν στρατεῦσαι. 3. Καὶ ἠθροίζοντο εἰς Αὐλίδα τῆς Βοιωτίας πολλοὶ μὲν ἄνδρες, πολλὰ δὲ πλοῖα. 4. Στρατηγὸς δὲ τῶν πάντων ἦν Ἀγαμέμνων, ὁ Μενελάου ἀδελφός, ὁ Μυκήνης βασιλεύων. 5. Ἄλλοι δὲ τῶν ἀρχόντων ἦσαν Ἀχιλλεύς, Αἴας ὁ Λοκρός, Αἴας ὁ Σαλαμίνιος, Διομήδης, Ἰδομενεύς, Νέστωρ, Ὀδυσσεύς.

Vor C ist das Pensum vermehrt durch: 3. kontrahierte Deklination (in knapper Auswahl) — vom Medium: Präs. u. Imperfect, sowie Futur u. Aorist (des Verb. pur.).

C. Persisch-griechische Geschichte: 1. Kyros und Astyages.

1. Μῆδοι γείτονες[1]) ἦσαν τῇ Κασπίᾳ θαλάττῃ. Ἦν δὲ τὸ ἔθνος μέγα καὶ ἀνδρεῖον, ἦρχε δὲ πολλῶν ἐν τῇ Ἀσίᾳ ἐθνῶν. Τελευταῖος δὲ τῶν Μήδων βασιλεὺς ἦν Ἀστυάγης. Ἡ δὲ Ἀστυάγους βασιλεία λύεται[2]) ὑπὸ Κύρου τοῦ Πέρσου ὧδε.

2. Ἦν Ἀστυάγει θυγάτηρ, ᾗ ὄνομα ἦν Μανδάνη. Βλέπει δ' Ἀστυάγης ὄναρ, ὡς ἐκ τῆς θυγατρὸς ποταμὸς μέγας ἐγίγνετο[1]) τὴν Ἀσίαν πᾶσαν ἄρδων.[2]) Λέγει δὲ τὸ ὄναρ τοῖς

μάγοις· οἱ δὲ μάγοι λέγουσιν, ὅτι τῆς Θυγατρὸς υἱὸς βασιλεύσει τῆς Ἀσίας ἀντὶ ἐκείνου. Καὶ Ἀστυάγης, κωλύσων[3]), τὴν Μανδάνην οὐ λαμπρῷ καὶ ἐνδόξῳ ἀνδρὶ γυναῖκα ἄγει[4]), ἀλλὰ ἀνδρὶ Πέρσῃ[5])· οἱ γὰρ Πέρσαι ὑπήκοοι τῶν Μήδων καὶ ἐν ὀλίγῃ τιμῇ ἦσαν, καὶ ἐπίστευεν Ἀστυάγης, ἀνδρὸς Πέρσου υἱὸν οὐ βασιλεύσειν τῆς Ἀσίας.

3. Μετὰ δὲ βραχὺν χρόνον Ἀστυάγης βλέπει ἄλλο ὄναρ. Βλέπει δ', ὡς ἐκ τῆς Θυγατρὸς ἐγίγνετο[1]) ἄμπελος· ἡ δὲ ἄμπελος ἔκρυπτε[2]) πᾶσαν τὴν Ἀσίαν. Οἱ δὲ μάγοι λέγουσιν αὖθις, ὅτι τῆς Θυγατρὸς υἱὸς βασιλεύσει ἀντὶ ἐκείνου. Ἀκούσας δ' Ἀστυάγης μεταπέμπεται ἐκ Περσῶν[3]) τὴν Θυγατέρα καὶ ἐφύλαττεν[4])· εἰ γὰρ ἡ Θυγάτηρ τίκτοι υἱόν[5]), κτείνειν αὐτὸν ἤθελεν. Τίκτει δὲ Μανδάνη υἱόν. Ἀστυάγης δὲ μεταπέμπεται Ἅρπαγον, ἄνδρα φίλον καὶ πιστόν, καὶ ἐκέλευσεν αὐτὸν[6]) τὸν παῖδα κτείνειν καὶ θάπτειν. Ὁ δὲ Ἅρπαγος τὸν παῖδα φέρει.[7])

4. Αὐτὸς δὲ οὐκ ἐθέλων κτείνειν Ἅρπαγος τὸν παῖδα ἄνδρα πιστόν, βουκόλον, μεταπέμπεται καὶ ἐκέλευσεν αὐτὸν τὸ τέκνον ἐκβάλλειν εἰς ἔρημον χωρίον τῶν ὀρῶν.[1])

Ἡ δὲ τοῦ βουκόλου γυνή, ἐν ᾧ χρόνῳ[2]) ὁ ἀνὴρ ἐν τῷ Ἅρπάγου οἴκῳ ἦν, τίκτει παιδὸς νεκρόν.[3]) Ἡ οὖν γυνὴ ἱκέτευσε τὸν ἄνδρα, σῴζειν τὸ Μανδάνης τέκνον, τὸν δὲ νεκρὸν ἐκβάλλειν. Πείθεται δ' ὁ ἀνήρ· καὶ ὁ μὲν νεκρὸς εἰς ἔρημον χωρίον ἐκβάλλεται, ὁ δὲ Μανδάνης παῖς ἐτρέφετο καὶ ἐπαιδεύετο ὑπὸ τοῦ βουκόλου καὶ τῆς γυναικὸς αὐτοῦ ὡς υἱὸς αὐτῶν[4])· ὄνομα δ' ἐγίγνετο τῷ παιδὶ Κῦρος.

5. Ὅτε δ' ἦν δέκα ἐτῶν[1]) ὁ παῖς, φαίνει[2]) αὐτὸν πρᾶγμα ὧδε γιγνόμενον.[3]) Παίζει Κῦρος ἐν τῇ κώμῃ σὺν τοῖς ἄλλοις παισί· καὶ οἱ παῖδες παίζοντες τὸν Κῦρον βασιλεῦσαι ἐκέλευσαν. Ὁ δὲ βασιλεύων αὐτῶν τοὺς μὲν τάττει[4]) οἴκους οἰκίζειν, τοὺς δὲ φυλάττειν, ἄλλους δὲ τὰς ἀγγελίας φέρειν, παντὶ[5]) ἔργον τάττων ὡς ἀληθὴς βασιλεύς. Εἷς δὲ τῶν παίδων παιζόντων, ἀνδρὸς πλουσίου τῶν Μήδων υἱός, οὐκ ἤθελε πράττειν τὰ ὑπὸ Κύρου κελευόμενα.[6]) Κῦρος δὲ ἐκέλευσε τοὺς ἄλλους παῖδας αὐτὸν ἄγειν[7])· ἐπεὶ δ' οἱ παῖδες ἐπείθοντο, Κῦρος τὸν παῖδα κρίνει[8]) καὶ μάστιγι ἔπαισεν.

6. Ὁ δὲ τοῦ παιδὸς πατὴρ σὺν ὀργῇ μεγάλῃ πρὸς Ἀστυάγη ἦκει καὶ λέγει αὐτῷ τὸ πρᾶγμα.[1]) Ἀστυάγης δὲ μεταπέμπεται

τὸν βουκόλον καὶ τὸν Κῦρον. Ὁ δὲ Κῦρος ἠγόρευσε πρὸς Ἀστυάγη· „Ὦ βασιλεῦ, ἔπαισα ἐκεῖνον σὺν δίκῃ[2])· ὑπὸ γὰρ τῶν ἐκ τῆς κώμης παίδων βασιλεὺς ἐκρινόμην.[3]) Καὶ οἱ μὲν ἄλλοι παῖδες τὰ κελευόμενα ἔπραττον, ὁ δὲ οὐκ ἐπείθετο· δικαία οὖν δίκη[4]) ἐγίγνετο αὐτῷ."

7. Λέγοντα δὲ τὸν παῖδα Ἀστυάγης τῇ Θυγατρὶ Μανδάνῃ ὅμοιον κρίνει.[1]) Καὶ τοὺς μὲν ἄλλους ἐκπέμπει, τὸν δὲ βουκόλον μόνον φόβῳ ἀναγκάζων λέγειν τὴν ἀλήθειαν, εὑρίσκει, ὅτι ὁ βουκόλος τὸν Μανδάνης παῖδα ἔτρεφε καὶ ἐπαίδευεν.

8. Μεταπέμπεται δ' Ἀστυάγης, περὶ Κύρου βουλευσόμενος[1]), τοὺς μάγους. Οἱ δὲ μάγοι λέγουσιν, ὅτι οὐκ ἀνάγκη[2]), τὸν παῖδα κτείνειν. Ἤδη γὰρ ἐβασίλευσεν[3]), ὦ βασιλεῦ, καὶ πάντα ἔπραττε καὶ ἔταττεν ὡς ἀληθὴς βασιλεύς. Τοῖς οὖν ὀνείρασι τέλος[4]) ἐστί, καὶ ἐκ τοῦ παιδὸς[5]) τῇ σῇ βασιλείᾳ οὐκέτι ἐστὶ[7]) κίνδυνος." Ὁ δ' Ἀστυάγης ἀκούσας τὸν παῖδα οὐ κτείνει. —

9. Ἁρπάγῳ δ' Ἀστυάγης ἐβούλευσε[1]) δίκην ἀσεβῆ, ὀργῇ[2]), ὅτι τὸν παῖδα οὐ κτείνων οὐκ ἐπείθετο[3]) τοῖς βασιλέως λόγοις. Μεταπέμπεται δ' αὐτὸν εἰς δεῖπνον· ἔπειτα δὲ τὸν Ἁρπάγου υἱὸν σφάττει καὶ τὰ κρέα ἕψει· καὶ τοὺς θεράποντας ἐκέλευσεν ἐν τῷ δείπνῳ τῷ Ἁρπάγῳ τοῦ υἱοῦ κρέα φέρειν· ὁ δὲ Ἅρπαγος ἐγεύσατο. Ἔπειτα δὲ Ἀστυάγης πυνθάνεται, εἰ[4]) καλὸν τὸ δεῖπνον. Ὁ δὲ λέγει, ὅτι καλόν.[5]) Ἀστυάγης δὲ ἐκέλευσε τοὺς θεράποντας φέρειν τρίποδα, καὶ Ἅρπαγος βλέπει ἐν αὐτῷ τοῦ υἱοῦ τὰ λοιπά.[6])

10. Κῦρον δ' Ἀστυάγης πέμπει εἰς Πέρσας[1]) πρὸς τὴν μητέρα Μανδάνην καὶ τὸν πατέρα. Γίγνεται δὲ νεανίας καλὸς καὶ ἀγαθὸς[2]) καὶ ἐν τοῖς Πέρσαις ἐν πολλῇ τιμῇ ἦν.

11. Ἅρπαγος δὲ μετὰ τὸν τοῦ υἱοῦ θάνατον ἐθεράπευε μὲν Ἀστυάγη, ἀεὶ δὲ αὐτῷ κακὰ ἐβούλευεν. Βλέπων δὲ τὴν Κύρου ἀρετὴν ἤλπιζε τὴν Ἀστυάγους βασιλείαν τῇ Κύρου ἀρετῇ λύσειν. Γράφει οὖν τῷ Κύρῳ ἐπιστολὴν καὶ κελεύει αὐτὸν τοὺς Πέρσας πείθειν, ἐπὶ[1]) Ἀστυάγη στρατεύσασθαι· λέγει δ' ἐν τῇ ἐπιστολῇ, ὅτι καὶ αὐτὸς[2]) τῷ Κύρῳ καὶ τοῖς Πέρσαις βοηθήσει.

Οἱ δὲ Πέρσαι πείθονται ὑπὸ Κύρου, καὶ ἐπεὶ Κῦρον ἐκέλευσαν τῶν Περσῶν βασιλεῦσαι, σὺν αὐτῷ ἐπ' Ἀστυάγη ἐστρατεύσαντο.

12. Ἀστυάγης δὲ μεγάλην στρατιὰν σὺν Ἁρπάγῳ πέμπει,

ἵνα μάχηται Κύρῳ καὶ τοῖς Πέρσαις. Ἅρπαγος δὲ καὶ οἱ σὺν αὐτῷ Κύρῳ φίλοι γιγνόμενοι τὴν Κύρου στρατιὰν αὐξάνουσιν. Ἀστυάγης δὲ τὴν λοιπὴν δύναμιν ἀθροίζει καὶ στρατεύεται αὐτός. Μάχη δὲ γίγνεται μεγάλη· τέλος δὲ φεύγουσιν οἱ Μῆδοι. Καὶ Ἀστυάγης αὐτὸς λαμβάνεται καὶ πρὸς Κῦρον ἄγεται. Ὁ δὲ ἀσεβὴς κρίνων, τὸν τῆς μητρὸς πατέρα κτείνειν, σῴζει Ἀστυάγους βίον καὶ ἐθεράπευεν αὐτὸν εἰς τελευτὴν[1]) τοῦ βίου ὡς[2]) ἄνδρα συγγενῆ καὶ φίλον.

13. Οἱ δὲ Μῆδοι Κύρου καὶ τῶν Περσῶν ὑπήκοοι γίγνονται καὶ πάντα τὰ ἔθνη τὰ τῶν Μήδων ὑπήκοα.[1]) Βασιλεύοντι δὲ Κύρῳ σὺν δίκῃ καὶ ἀρετῇ ἡ δύναμις ἀεὶ ηὐξάνετο, καὶ ἐκ πάντων τῶν τότε βασιλέων[2]) μεγέθει χώρας καὶ πλήθει στρατιᾶς Κῦρος λαμπρὸς ἦν.

Vor D ist das Pensum vermehrt durch: Verbum purum beendet und οὗτος.

D. Persisch-griechische Geschichte: 2. Kroisos und Solon.

1. Μετὰ δὲ βραχὺν χρόνον Κῦρος ἐστρατεύσατο ἐπὶ Κροῖσον, Λυδῶν βασιλέα. Τύραννος δὲ ἦν οὗτος πάντων τῶν ἐθνῶν ἀπὸ τοῦ Αἰγαίου εἰς[1]) τὸν Ἅλυν ποταμόν. Καὶ ὑπήκοοι ἦσαν τῷ Κροίσῳ καὶ[2]) οἱ Ἴωνες καὶ Αἰολεῖς, οἳ ἐκ τῆς Ἑλλάδος ἐστρατευμένοι[3]) τῆς Ἀσίας τὰ πρὸς τῷ Αἰγαίῳ[4]) ᾤκιζον. Σάρδεις δὲ πόλις μεγίστη τῶν Λυδῶν ἦν, ἐν ᾗ καὶ[5]) τὸ Κροίσου βασίλειον ἦν.

2. Ἐπεὶ δὲ ἡ Κροίσου δύναμις μεγάλη[1]) ὑπὸ πάντων τῶν ἀνθρώπων ἐθαυμάζετο, ἦκον εἰς Σάρδεις καὶ ἄλλοι ἐκ τῆς Ἑλλάδος σοφοί, καὶ ἦκε Σόλων, ἀνὴρ Ἀθηναῖος. Οὗτος γάρ, ἐπεὶ ἐπέπαυτο τοῖς Ἀθηναίοις νόμους γράφων, δέκα ἔτη ἐν ξέναις χώραις ἦν, ἵνα μὴ ἀναγκάζοιτο λῦσαι νόμον τούτων, οὓς τοῖς Ἀθηναίοις ἔγραφεν.[2]) Αὐτοὶ γὰρ οἱ Ἀθηναῖοι ἦσαν οὐχ ἱκανοὶ[3]) πράττειν τοῦτο· ὅρκοις γὰρ μεγάλοις ἐκωλύθησαν, πρὸ δέκα ἐτῶν νόμον Σόλωνος λῦσαι. Ἐπεὶ οὖν Σόλων ἐν ξέναις χώραις ἦν, καὶ[4]) εἰς Σάρδεις πρὸς Κροῖσον ἦκεν.

3. Ξενίζεται δὲ Σόλων ἐν τοῖς βασιλείοις ὑπὸ Κροίσου· καὶ ἐκέλευσε Κροῖσος τοὺς θεράποντας Σόλωνα ἐν παντὶ τῷ οἴκῳ πρὸς πάντα τὰ χρήματα ἄγειν. Ἔπειτα δὲ ἀγορεύει Κροῖσος· „Ὦ ξένε Ἀθηναῖε, πρὸς πάντας τοὺς ἀνθρώπους

λόγος[1]) ἦκε πολὺς τῆς σῆς σοφίας καὶ τῶν σῶν ὁδῶν.[2]) Νῦν οὖν πυνθάνομαι· „Τίνα πάντων ἔβλεπες εἰδαιμονέστατον;“ Ὁ μὲν ταῦτα ἠγορεύκει ἐλπίζων, αὐτὸς ἀγορευθήσεσθαι ἀνθρώπων εὐδαιμονέστατος, Σόλων δὲ λέγει· „Ὦ Κροῖσε, Τέλλον Ἀθηναῖον εὐδαιμονέστατον πάντων ἔβλεπον.“ Θαυμάζων δὲ Κροῖσος τὸ ἠγορευμένον πυνθάνεται· „Διὰ τί κρίνεις Τέλλον εὐδαιμονέστατον;“ Ὁ δὲ ἠγόρευσε· „Τέλλῳ παῖδες ἦσαν καλοὶ καὶ ἀγαθοί, καὶ ἐξ αὐτῶν πάντων ἔβλεπε τέκνα γιγνόμενα[3]) καὶ πάντων τούτων οὐδὲ ἕνα ἔβλεπε ἀποθνήσκοντα. Ἐπεὶ δὲ ἦν ἐτῶν πολλῶν[4]), τελευτὴ τοῦ βίου λαμπρὰ αὐτῷ γίγνεται. Ἐπεὶ γὰρ τοῖς Ἀθηναίοις μάχη ἦν πρὸς τοὺς πολεμίους, ἐστρατευμένος[5]) σὺν τοῖς ἄλλοις, τῇ ἑαυτοῦ ἀρετῇ[6]) νίκην τοῖς Ἀθηναίοις πορίζων σὺν πολλῇ δόξῃ ἀποθνήσκει.“

4. Ἔπειτα δὲ Κροῖσος πυνθάνεται, τίνα δεύτερον μετ' ἐκεῖνον εὐδαιμονέστατον ἔβλεπεν, ἐλπίζων αὐτὸς δεύτερος ἀγορευθήσεσθαι. Ὁ δ' ἠγόρευσε· „Κλέοβιν καὶ Βίτωνα, γένος[1]) Ἀργείους. Περὶ τούτων γὰρ λέγεται ὧδε· Ἐπεὶ ἦν ἑορτὴ τῆς Ἥρας τοῖς Ἀργείοις, ἀνάγκη ἦν, τὴν μητέρα αὐτῶν ζεύγει[2]) φέρεσθαι εἰς τὸ ἱερόν, οἱ δὲ βόες αὐτῇ[3]) ἐκ τοῦ ἀγροῦ οὐχ ἥκον. Ἔνθα οἱ νεανίαι αὐτοὶ ἀντὶ τῶν βοῶν τὴν μητέρα καὶ τὴν ἅμαξαν ἦγον[4]), καὶ στάδια πολλὰ τὴν μητέρα ἄγοντες ἦκον εἰς τὸ ἱερόν. Οὕτω δὲ τὴν μητέρα τεθεραπευκόσι καὶ θαυμαζομένοις ὑπὸ πάντων τελευτὴ τοῦ βίου καλὴ γίγνεται. Ἡ γὰρ μήτηρ ἱκέτευσε τὴν Ἥραν, Κλεόβει καὶ Βίτωνι τοῖς[5]) τέκνοις, οἳ τὴν μητέρα εὖ ἐτεθεραπεύκεσαν, πορίζειν, ὅ ἀνθρώπῳ ἄριστον εἴη.[6]) Ἐπεὶ δὲ ἡ μήτηρ οὕτως ἱκετεύκει, οἱ νεανίαι, ἐπεὶ ἐτεθύκεσαν, ἐν αὐτῷ τῷ ἱερῷ ἐκάθευδον· ἀλλ' οὐκέτι ἐκ τοῦ ὕπνου ἐγείρονται, ἀλλὰ τοῦτο αὐτοῖς τέλος τοῦ βίου ἦν.“

5. Σόλων μὲν δευτέρους τὴν εὐδαιμονίαν[1]) ἔκρινε τούτους, Κροῖσος δὲ σὺν ὀργῇ ἠγόρευσεν· „Ὦ ξένε Ἀθηναῖε, ἡ Κροίσου εὐδαιμονία οὕτως ὀλίγη φαίνεται, ὥστε οὐδὲ ἐκείνοις τοῖς ἀνδράσιν ἴσον Κροῖσον νομίζεις;“ Ὁ δὲ λέγει· „Ὦ Κροῖσε, καὶ πλούσιος φαίνῃ καὶ βασιλεύων πολλῶν ἀνθρώπων. Ἐκεῖνο δέ, ὃ πυνθάνῃ, εἰ[2]) εὐδαίμων ἐστὶν ὁ Κροῖσος, οὐ λέγω, πρὶν πεπαυμένον εὖ τοῦ βίου Κροῖσον ἤκουσα.[3]) Βλέπειν γὰρ ἀνάγκη παντὸς χρήματος τὴν τελευτήν· πολλοὺς γὰρ πλουσίους καὶ εὐδαίμονας ὁ θεὸς ταχὺ τοῦ πλούτου καὶ τῆς εὐδαιμονίας πέπαυκεν.“[4]) Ταῦτα Σόλων Κροίσῳ ἔλεγεν· ὁ δὲ αὐτὸν ἀπο-

πέμπεται, νομίζων ἄφρονα, ὅτι[5]) τὰ παρόντα ἀγαθὰ[6]) ὀλίγα νομίζων παντὸς χρήματος τὴν τελευτὴν βλέπειν ἐκέλευεν.

Ende des ersten Semesters

Mit Beginn des zweiten Semesters wird vor E das Pensum vermehrt durch: Verbum mutum der T-Stämme — Cardinalia u. die Ord. πρῶτος, δεύτερος, τρίτος, dazu οὐδείς (μηδείς) — Adjectiva composita auf -ος, ον.

E. Persisch-griechische Geschichte: 3. Kroisos von Kyros besiegt.

1. Μετὰ δὲ βραχὺν χρόνον ἐκόλασεν ἐκ θεοῦ[1]) δίκη μεγάλη Κροῖσον, ὅτι ἐνόμιζεν αὐτὸς εἶναι πάντων τῶν ἀνθρώπων εὐδαιμονέστατος. Ἐπεὶ γὰρ ἔβλεπε τὴν Ἀστυάγους ἀρχὴν λελυμένην ὑπὸ Κύρου καὶ τὰ τῶν Περσῶν πράγματα[2]) αὐξανόμενα[3]), ἐβουλεύσατο, ὅπως[4]) παύσαι τὴν τῶν Περσῶν δύναμιν αὐξανομένην. Ἐκόμισεν οὖν δῶρα πολλὰ εἰς Δελφοὺς καὶ τοὺς τὰ δῶρα φέροντας ἐκέλευσε πυνθάνεσθαι τοῦ μαντείου, εἰ στρατεύσαιτο ἐπὶ τοὺς Πέρσας Κροῖσος. Τὸ δὲ μαντεῖον λέγει, ἐὰν Κροῖσος στρατεύσηται ἐπὶ τοὺς Πέρσας, μεγάλην ἀρχὴν αὐτὸν λύσειν.

2. Μετὰ δὲ τοῦτο Κροῖσος οὐκ εἰκάσας τὴν γνώμην[1]) τοῦ μαντείου ἐστρατεύσατο ἐπὶ τοὺς Πέρσας, ἐλπίζων λύσειν τὴν Κύρου καὶ τῶν Περσῶν δύναμιν. Ὡς δὲ ἦκεν ἐπὶ τὸν Ἅλυν ποταμόν, διὰ τούτου τὸν στρατὸν εἰς Καππαδοκίαν ἄγει, χώραν πρότερον μὲν τῶν Μήδων ὑπήκοον[2]), τότε δὲ Κύρου. Κῦρος δὲ ἀθροίσας τὸν τῶν Περσῶν στρατὸν ἐπὶ Κροῖσον ἐστρατεύσατο. Πέμπων δὲ κήρυκας εἰς τοὺς Ἴωνας ἤθελε πεῖσαι τούτους, Κροίσῳ μηκέτι ὑπηκόους εἶναι· οἱ δὲ Ἴωνες οὐκ ἐπείσθησαν.[3]) Κῦρος δὲ ὡς εἰς Καππαδοκίαν ἦκεν, αὐτίκα πρὸς Κροῖσον ἠγωνίσατο. Μάχη δὲ μεγάλη γίγνεται, καὶ ἀποθνήσκουσιν ἀμφοτέρων[4]) πολλοί· τέλος[5]) νὺξ ἔπαυσε μάχην ἴσην.[6]) Κροῖσος δὲ τὸ πλῆθος τοῦ τῶν Λυδῶν στρατοῦ οὐχ ἱκανὸν βλέπων, ὡς τῇ ὑστεραίᾳ οὐκ ἐμάχετο Κῦρος, πορεύεται ὀπίσω πρὸς τὰς Σάρδεις.

3. Κῦρος δὲ ἐψηφίσατο πορεύεσθαι ἐπὶ τὰς Σάρδεις, πρὶν μείζονα δύναμιν τῶν Λυδῶν ἀθροισθῆναι.[1]) Καὶ ἄγει τὸν στρατὸν εἰς τὴν Λυδίαν οὕτω ταχύ[2]), ὥστε αὐτὸς ἄγγελος

Κροίσῳ ἦκεν. Ἐνταῦθα Κροῖσος ἐν πολλῇ μὲν ἀπορίᾳ ἦν, ὅμως δὲ τοὺς Λυδοὺς ἐκ τῆς πόλεως εἰς μάχην ἦγεν. Καὶ ἠγωνίζοντο μὲν οἱ Λυδοὶ ἀνδρείως[3]), τέλος δὲ φεύγουσιν εἰς τὴν πόλιν καὶ πολιορκίᾳ ὑπὸ τῶν Περσῶν κλείονται.

4. Ἐπεὶ δὲ οἱ Λυδοὶ τέτταρας καὶ δέκα ἡμέρας πολιορκίᾳ πεπιεσμένοι ἦσαν, αἱ Σάρδεις ἁλίσκονται.

Κροῖσος δὲ ζωὸς ἁλίσκεται, βασιλεύσας μὲν ἔτη τέτταρα καὶ δέκα, τέτταρας δὲ καὶ δέκα ἡμέρας πολιορκίᾳ πιεσθείς, λύσας δὲ κατὰ[1]) τὸ μαντεῖον μεγάλην ἀρχήν.

5. Κῦρος δὲ κελεύσας τοὺς Πέρσας κομίσαι ξύλα[1]) πολλὰ ἐκάθισεν ἐπ' αὐτὰ Κροῖσον καὶ τέτταρας καὶ δέκα τῶν Λυδῶν νεανίας, τοῦτο[2]) τῆς λείας τοῖς θεοῖς θύσων. Ὁ δὲ Κροῖσος ἐπὶ τῶν ξύλων μιμνήσκεται τὸ[3]) τοῦ Σόλωνος, ὡς εἴη σὺν θεῷ[4]) πεφρασμένον, μηδένα[5]) εἶναι τῶν ἀνθρώπων πρὸ τοῦ θανάτου εὐδαίμονα. Ὡς δὲ τοῦτο ἐμιμνήσκετο, τρὶς τὸ Σόλωνος ὄνομα ἔφρασεν. Καὶ Κῦρος ἀκούσας ἐκέλευσε τοὺς ἑρμηνέας πυνθάνεσθαι Κροίσου, τίνα[5]) φράσαι. Κροῖσος δὲ ἠγόρευσεν· ‚Ἀνδρὸς ὄνομα ἔφρασα, ᾧ εἰς λόγους ἥκειν[6]) πάντες οἱ τύραννοι πεισθεῖεν.'[7]) Ἔπειτα δὲ ἔφρασε πάντα, ὡς ἦκε Σόλων ὁ Ἀθηναῖος καὶ πάντα τὸν Κροίσου πλοῦτον βλέπων ὅμως οὐδένα τῶν ἀνθρώπων πρὸ τοῦ θανάτου εὐδαίμονα εἶναι ἔφρασεν, ὡς καὶ νῦν ἡ Κροίσου τύχη φαίνοι. Κῦρος δέ, καὶ[8]) τὴν ἑαυτοῦ τύχην ἄδηλον εἶναι βουλευσάμενος, ἐκέλευσε παῦσαι[9]) ταχὺ τὸ πῦρ καὶ σῶσαι Κροῖσον καὶ τοὺς σὺν αὐτῷ.

Vor F ist das Pensum vermehrt durch: Verbum mutum der K- und P-Stämme (nur regelmäfsige Formen ohne Tempora II) — Präpositionen mit einem Casus, dazu Präposition im Verbum compositum.

F. Persisch-griechische Geschichte: 4. Kyros läfst die Griechen in Asien unterwerfen.

1. Ἴωνες δὲ καὶ Αἰολεῖς, ὡς οἱ Λυδοὶ κατεστραμμένοι ἦσαν ὑπὸ τῶν Περσῶν, ἔπεμψαν ἀγγέλους εἰς Σάρδεις πρὸς Κῦρον, ἐθέλοντες ἐν τοῖς αὐτοῖς νόμοις[1]) αὐτῷ ὑπήκοοι εἶναι, ἐν οἷς καὶ Κροίσῳ ἦσαν ὑπήκοοι. Ὁ δὲ ἀκούσας ἔλεξεν αὐτοῖς λόγον[2]) ὧδε λέγων· ‚Ἀνὴρ βλέψας ἰχθῦς ἐν τῇ θαλάττῃ αὐλῷ ἐφθέγξατο, νομίζων αὐτοὺς ἥξειν εἰς γῆν· ὡς δὲ ἐψεύσθη τῆς ἐλπίδος[3]),

ἐπορίσατο δίκτυον καὶ κλείσας[4]) πλῆθος πολὺ τῶν ἰχθυων ἐξεκόμισε· βλέψας δὲ κυλινδομένους ἐπὶ τῆς γῆς ἔλεξε πρὸς τοὺς ἰχθῦς· ‚Παύεσθε χορεύοντες, ἐπεὶ οὐδ', ὡς αὐλῷ ἐφθεγγόμην, ἠθέλετε ἐκβαίνειν χορεύοντες.' Κῦρος μὲν τοῦτον τὸν λόγον τοῖς Ἴωσι καὶ Αἰολεῦσι διὰ τοῦτο ἔλεξεν, ὅτι οἱ Ἴωνες πρότερον, αὐτοῦ Κύρου κελεύσαντος[5]) δι' ἀγγέλων συμμάχους Κύρῳ γίγνεσθαι, οὐκ ἐπείσθησαν[6]), τότε δέ, κατεστραμμένων τῶν Λυδῶν, ἦσαν ἕτοιμοι πείθεσθαι Κύρῳ. Ὁ μὲν δὴ ὀργῇ ἔλεξεν αὐτοῖς ταῦτα, οἱ δὲ Ἴωνες, ὡς ἤκουσαν τούτων λεχθέντων[7]) εἰς τὰς πόλεις, παρεσκευάζοντο ὡς τοὺς Πέρσας δεξόμενοι.

2. Μετὰ δὲ ταῦτα Κῦρος ἐπιτρέψας τὰς Σάρδεις φύλαξι Πέρσαις ἐπορεύετο εἰς Μήδους καὶ Πέρσας[1]), Κροῖσον ἄγων[2]) καὶ τὸν τῶν Ἰώνων πόλεμον μικρὸν νομίζων· ἡ γὰρ Βαβυλὼν αὐτῷ ἦν ἐμποδὼν καὶ ἄλλοι, ἐφ' οὓς ἤθελε στρατεύεσθαι αὐτός, ἐπὶ δὲ τοὺς Ἴωνας ἄλλον ἤθελε πέμψαι στρατηγόν.

3. Ὡς δὲ ἀπῆκτο ὑπὸ Κύρου ὁ στρατός, πολλοὶ τῶν Λυδῶν ἐστασίαζον καὶ τοὺς Περσῶν φύλακας εἰς τὴν ἀκρόπολιν τὴν Σάρδεων ἔκλεισαν καὶ πολιορκίᾳ ἐπίεσαν. Πολλοὶ δὲ καὶ τῶν Ἰώνων τοῖς Λυδοῖς συνεστρατεύοντο. Ἀκούσας δὲ ταῦτα Κῦρος ἐχαλέπαινε καὶ ἔλεξε πρὸς Κροῖσον βουλεύεσθαι[1]), εἰ τοὺς Λυδοὺς δούλους[2]) ἐκ τῆς χώρας ἀπάξοι. Κροῖσος δὲ ἔλεξεν ὧδε· ‚Ὦ βασιλεῦ, μὴ πόλιν ἀρχαίαν καταλύσῃς. Ἀλλα τοῖς Λυδοῖς ὧδε ἐπίταξον.[3]) Κώλυσον μὲν αὐτοὺς ὅπλα ἔχειν, κέλευσον δὲ αὐτοὺς κιθαρίζειν καὶ καπηλεύειν[4]) παιδεύειν τοὺς παῖδας· καὶ αὐτοὺς γυναῖκας ἀντ' ἀνδρῶν βλέψεις γιγνομένους, ὥστε οὐκέτι στασιάσουσιν.' Κροῖσος μὲν δὴ ταῦτα συνεβούλευσεν, οὐκ ἴσον[5]) χαλεπὰ ταῦτα νομίζων τοῖς Λυδοῖς ἢ ἐκ τῆς χῶρας ἀπαχθῆναι, Κῦρος δὲ δεξάμενος τοὺς Κροίσου λόγους τῆς ὀργῆς ἐπαύσατο. Ἀπέπεμψε δὲ πολλὴν δύναμιν, κελεύσας, πρῶτον μὲν ταῦτα τοῖς Λυδοῖς φράσαι, ἃ Κροῖσος συνεβεβουλεύκει, ἔπειτα δὲ καταστρέψασθαι τοὺς Ἴωνας καὶ τοὺς ἄλλους ἐν τῇ Ἀσίᾳ Ἕλληνας. Ὁ μὲν δὴ Κῦρος ταῦτα ἐκ τῆς ὁδοῦ[6]) κελεύσας ἐπορεύετο οἴκαδε. Οἱ δὲ Πέρσαι ἥκοντες εἰς Σάρδεις τοὺς Λυδοὺς ἠνάγκασαν, κατὰ ταῦτα[7]), ἃ Κροῖσος συνεβεβουλεύκει, πρᾶξαι· ἐκ τούτου δὲ τοῦ χρόνου οἱ Λυδοὶ τὸν πάντα βίον[8]) ἤλλαξαν, καὶ πρότερον πολέμου ἀρετῇ λαμπροὶ ἀπὸ τούτου τοῦ χρόνου τῶν ὅπλων ἄπειροι ἐγίγνοντο.

4. Μετὰ δὲ ταῦτα οἱ Πέρσαι ἐστρατεύσαντο ἐπὶ τοὺς συστρατευσαμένους τοῖς Λυδοῖς. Κατεπέμφθη δὲ στρατηγὸς ὑπὸ Κύρου Ἅρπαγος ὁ Μῆδος, ὃν ὁ Μήδων βασιλεὺς Ἀστυάγης τοῦ ἀσεβοῦς δείπνου ἔγευσεν[1]), ὁ Κύρῳ τὴν βασιλείαν πορίσας. Ὑπὸ τούτου, ὡς ἦκεν εἰς Ἰωνίαν, ἡλίσκοντο αἱ πόλεις πολιορκίᾳ. Καὶ ὀλίγοι τῶν Ἑλλήνων, τὴν δουλείαν φεύγοντες, ἔλειπον τὰς πατρίδας, οἱ δὲ ἄλλοι ἐμάχοντο μὲν Ἅρπάγῳ καὶ ἄνδρες ἦσαν ἀγαθοί, ὑπὲρ τῆς πατρίδος ἕκαστοι μαχόμενοι, κατεστραμμένοι δὲ ἔμενον κατὰ χώραν[2]) καὶ τοῖς Πέρσαις ἐπείθοντο

Vor G ist das Pensum vermehrt durch: Pronomina und Enklitika (in knapper Auswahl).

G. Persisch-griechische Geschichte: 5. Des Kyros Tod.

1. Κῦρος ἐκ Σάρδεων οἴκαδε πορευόμενος Κροῖσον μεθ' ἑαυτοῦ ἄγων εἰς Πέρσας[1]) ἦκεν. Μετ' οὐ πολὺν δὲ χρόνον ἐπὶ Βαβυλωνίους ἐστρατεύσατο, ὧν ἡ πόλις Βαβυλὼν ἐπὶ[2]) τῷ Εὐφράτῃ ποταμῷ κειμένη ἦν, καὶ κατεστρέψατο. Ὡς δὲ τῷ Κύρῳ καὶ ἡ Βαβυλὼν ὑπήκοος ἦν, ἤθελε Μασσαγέτας ὑφ' ἑαυτῷ ἔχειν[3]). Τὸ δὲ ἔθνος τοῦτο μέγα τε ἦν καὶ ἀνδρεῖον· ἡ δὲ χώρα τῶν Μασσαγετῶν ἦν πέραν τοῦ Ἀράξου ποταμοῦ· ὁ δὲ Ἀράξης ποταμὸς ἐκβάλλει εἰς τὴν Κασπίαν θάλατταν.

2. Ἐβασίλευε δέ, ἐπεὶ ὁ ἀνὴρ ἀπέθνησκε, γυνὴ τῶν Μασσαγετῶν· Τόμυρις αὐτῇ ἦν ὄνομα. Ταύτην Κῦρος γυναῖκα ἑαυτοῦ ἔχειν ἤθελεν· ἡ δὲ Τόμυρις νομίσασα οὐχ ἑαυτὴν αὐτὸν ἔχειν ἐθέλειν, ἀλλὰ τὴν Μασσαγετῶν βασιλείαν, Κύρῳ οὐκ ἐχαρίσατο. Κῦρος δὲ ὡς λόγοις οὐδὲν διεπέπρακτο[1]), ἦκεν ἐπὶ τὸν Ἀράξην καὶ ἤρξατο γεφύρας σκευάζειν[2]), ὡς τὸν στρατὸν ἐπὶ τοὺς Μασσαγέτας διάξων. Ἔχοντι δὲ αὐτῷ τοῦτον τὸν πόνον πέμψασα ἡ Τόμυρις κήρυκα ἐκήρυξε τάδε· ‚Ὦ βασιλεῦ Περσῶν, παῦσαι ἐφ' ἡμᾶς στρατευόμενος· ἄδηλον γάρ σοί ἐστι ταύτης τῆς πράξεως τὸ τέλος. Εἰ δὲ μὴ ἐθέλεις πείθεσθαι, ἀλλὰ ἐθέλεις πρὸς Μασσαγέτας ἀγωνίσασθαι, διάβαινε ὑπὸ ἡμῶν μὴ κεκωλυμένος, ἐπεὶ ἡμεῖς ἀποτρεψόμεθα ἀπὸ τοῦ ποταμοῦ τριῶν ἡμερῶν ὁδόν. Εἰ δὲ ἡμᾶς ἐθέλεις δέξασθαι[3]) εἰς τὴν σὴν χώραν, σὺ ἀπὸ τοῦ ποταμοῦ ἀποτρέπου τριῶν ἡμερῶν ὁδόν.'

3. Ταῦτα δὲ ἀκούσας Κῦρος συνέλεξε Περσῶν τοὺς πρώτους, συλλέξας δὲ συνεβουλεύσατο αὐτοῖς, ὅ τι πράξαι[1]). Οἱ

δὲ ἐκέλευσαν πάντες δέξασθαι Τόμυρίν τε καὶ τὸν στρατὸν αὐτῆς εἰς τὴν χώραν. Ἀντέλεξε δὲ τῇ γνώμῃ ταύτῃ Κροῖσος ὁ Λυδός· τοῦτον γὰρ Κῦρος θαυμάζων διὰ σοφίαν ἦγεν, ὅποι καὶ αὐτὸς πορεύοιτο[2]), τὴν βουλὴν αὐτοῦ χρησίμην νομίζων. Οὗτος ἔφρασεν, αἰσχρὸν εἶναι, τὸν Κῦρον γυναικὶ πειθόμενον ὀπίσω πορεύεσθαι. ‚Ἀλλ ἐγὼ συμβουλεύω διῶξαι, ὅσον[3]) ἐκεῖνοι ὀπίσω πορεύσονται, ἔπειτα δέ, ἵνα αὐτῶν κρείττονες ὦμεν, πρᾶξαι τάδε· Ὡς γὰρ ἐγὼ πυνθάνομαι, Μασσαγέται εἰσὶ τῶν Περσικῶν δείπνων ἄπειροι. Κελεύω οὖν ἡμᾶς τούτοις τοῖς ἀνδράσι κρατῆρας οἴνου σκευάσαντας[4]) ἐν τῷ στρατοπέδῳ τῷ ἡμετέρῳ δεῖπνον πορίσαι· πράξαντες δὲ ταῦτα, ὑπολείποντες τῆς στρατιᾶς τὸ κακὸν[5]) ὀπίσω πορευσόμεθα ἐπὶ τὸν ποταμόν. Ἐὰν γὰρ ἐγὼ γνώμης μὴ ψευσθῶ[6]), ἐκεῖνοι βλέψαντες σῖτα πολλὰ τρέψονταί τε πρὸς αὐτά, καὶ ἡμεῖς οἴνου πλήρεις αὐτοὺς ῥᾳδίως κατακόψομεν.‘ Καὶ Κῦρος τῇ Κροίσου γνώμῃ πειθόμενος ἐκέλευσε Τόμυριν ὀπίσω πορεύεσθαι, ὡς αὐτὸς ἦξων[7]) ἐπ’ ἐκείνην. Καὶ ἡ μὲν ἀποτρέπεται ὀπίσω, Κῦρος δὲ διέβαινε τὸν ποταμὸν καὶ ὁ στρατὸς αὐτοῦ.

4. Ἐπεὶ δὲ Κῦρος ἀπὸ τοῦ Ἀράξου πρόσω ἐπεπόρευτό τι[1]), ἔπραξε κατὰ[2]) τοὺς Κροίσου λόγους. Ἐπεὶ γὰρ δεῖπνον ἐν τῷ στρατοπέδῳ ἐσκευάκει, κακοὺς μέν τινας τοῦ στρατοῦ καταλείπει, σὺν δὲ τοῖς ἄλλοις ὡς[3]) φεύγων ὀπίσω πορεύεται. Μετὰ δὲ βραχὺν χρόνον ἦκε τῶν Μασσαγετῶν τρίτον μέρος τοῦ στρατοῦ καὶ τοὺς λειφθέντας[5]) τῆς Κύρου στρατιᾶς κατέσφαξε· βλέψαντες δὲ τὸ δεῖπνον ἐγεύσαντο, ἔπειτα δὲ πλήρεις σίτου καὶ οἴνου ἐκάθευδον. Οἱ δὲ Πέρσαι ἥκοντες πολλοὺς μὲν αὐτῶν κατέσφαξαν, πολλοὺς δὲ λαμβάνουσιν[6]) ἄλλους τε καὶ τὸν τῆς Τομύρεως παῖδα, ὃς στρατηγὸς ἦν τῶν Μασσαγετῶν.

5. Ὁ δὲ τῆς Τομύρεως παῖς, ὡς αὐτὸν ὁ οἶνος ἔλειπεν[1]), ἱκετεύσας Κῦρον ἐκ τῶν δεσμῶν λυθῆναι, διεπράξατο τοῦτο· ὡς δὲ ἐλύθη τε καὶ ἐλεύθερος ἦν, κατέσφαξεν ἑαυτόν. Τόμυρις δὲ συλλέξασα πᾶσαν τὴν ἑαυτῆς δύναμιν ἐμάχετο Κύρῳ. Μακρὰ δὲ αὕτη ἡ μάχη ἦν· τέλος δὲ οἱ Μασσαγέται κρείττονες ἐγίγνοντο καὶ τό τε πολὺ[2]) τοῦ Περσῶν στρατεύματος κατέκοψαν καὶ αὐτὸν Κῦρον, βασιλεύσαντα εἴκοσιν ἐννέα ἔτη. Τόμυρις δὲ ἐπεὶ ηὗρισκεν ἐκ τῶν νεκρῶν τὸ Κύρου σῶμα, τὴν κεφαλὴν ἀποκόψασα εἰς ἀσκὸν πλήρη αἵματος ῥῖψαι λέγεται, τὴν Κύρου μαχῶν καὶ αἵματος ἐπιθυμίαν σημαίνουσα.

Vor H ist das Pensum vermehrt durch: Comparation und Adverbia.

H. Persisch-griechische Geschichte: 6. Kambyses. Der falsche Smerdis.

1. Κύρου ὑπὸ τῶν Μασσαγετῶν κατεσφαγμένου Καμβύσης ὁ Κύρου Περσῶν ἐβασίλευσεν. Αὐτίκα δὲ ἐπὶ Ἄμασιν, βασιλέα Αἰγύπτου, στρατεύσασθαι παρεσκευάσατο. Ἄμασις δὲ ἐκεῖνός ἐστιν, ὃς Πολυκράτει, Σάμου τυράννῳ, ὅτε λαμπρότερος καὶ εὐδαιμονέστερος πάντων τῶν τότε Ἑλλήνων ἦν, διὰ τοῦτο τὸν τῶν θεῶν φθόνον καὶ τελευτὴν τοῦ βίου κακίστην ἐκήρυξεν, ὡς καὶ ὕστερον ἐγίγνετο. Τοῦτον τὸν Ἄμασιν Καμβύσης στρατευσάμενος ἐπ’ Αἴγυπτον οὐκέτι ζωὸν ηὗρισκεν, ἀλλ’ ἤδη ἐτέθαπτο. Ψαμμήνιτος δὲ ὁ Ἀμάσεως Αἰγυπτίων ἐβασίλευεν. Οὗτος δὲ συλλέξας τὸ τῶν Αἰγυπτίων στράτευμα πλησίον Πηλουσίου, πόλεως τῆς Αἰγύπτου, Καμβύσην καὶ Πέρσας ἐδέξατο. Καὶ ἠγωνίσαντο μὲν ἀμφότεροι δεινῶς, τέλος δὲ ἥττονες οἱ Αἰγύπτιοι φεύγουσιν. Κατακεκλειμένοι δὲ εἰς Μέμφιν πόλιν, ἐν ᾗ τὰ τῶν Αἰγυπτίων βασίλεια ἦν, τῇ πολιορκίᾳ μάλα πεπιεσμένοι τέλος ὑπήκοοι Καμβύσῃ γίγνονται. Ἐβεβασιλεύκει δὲ ὁ Ψαμμήνιτος μῆνας ἕξ· οὐ πολλῷ δὲ ὕστερον Καμβύσης αὐτὸν ἀποκτείνει.

2. Ἐν δὲ τῇ Αἰγύπτῳ Καμβύσης εἰς νόσον βαρυτάτην πίπτει· μαίνεσθαι γὰρ ἤρξατο. Ἐν δὲ τῇ νόσῳ ταύτῃ βαρύτατά τε καὶ ἀσεβέστατα πολλὰ ἔπραξε, πλεῖστα μὲν τοὺς Αἰγυπτίους[1]), πολλὰ δὲ καὶ τοὺς Πέρσας. Τὸ δὲ αὐτὸν φθεῖρον[2]) ἦν τόδε. Ἦν Καμβύσῃ ἀδελφὸς νεώτερος, Σμέρδις τὸ ὄνομα.[3]) Τοῦτον, ὅτι πάντων τῶν Περσῶν ῥώμῃ κράτιστος[4]) ἦν, Καμβύσης φθόνῳ[5]) ἐξ Αἰγύπτου οἴκαδε εἰς Πέρσας ἀπέπεμψεν. Μετὰ δὲ βραχὺν χρόνον ἔπεμψε Καμβύσης τῶν πιστῶν τινα[6]) οἴκαδε εἰς Πέρσας, ὡς κατασφάξοντα[7]) Σμέρδιν· ὁ δὲ ἥκων εἰς Σοῦσα Σμέρδιν λάθρᾳ κατέσφαξέ τε καὶ ἔθαψεν οὐδενὸς βλέποντος.[8]) — Ἦν δέ τις μάγος, ὑπὸ Καμβύσου καταλελειμμένος τοὺς βασιλείους οἴκους φυλάξαι. Οὗτος γιγνώσκων, ὅτι ὁ Σμέρδις κατέσφακτο μέν, ὁ δὲ Σμέρδεως θάνατος κεκρυμμένος ἦν καὶ οἱ Πέρσαι ζωὸν Σμέρδιν ἐνόμιζον, διὰ ταῦτα ἐβούλευσε τάδε. Ἦν αὐτῷ ἀδελφός, ὁμοιότατός τε τὸ εἶδος[9]) Σμέρδει τῷ Κύρου καὶ ὄνομα τὸ αὐτὸ[10])

ἔχων. Τοῦτον τὸν ἄνδρα πείσας ὁ μάγος καθίζει εἰς τὸν βασίλειον θρόνον. Μετὰ δὲ τοῦτο τῷ μάγῳ κήρυκας εἰς τὰς ἄλλας τε χώρας ἐπεμψάτην καὶ εἰς Αἴγυπτον κηρύξοντά τινα τῷ στρατῷ, Σμέρδεως τοῦ Κύρου ἀκούειν[11]) εἰς τὸν ἔπειτα χρόνον[12]), ἀλλὰ μὴ Καμβύσου.

3. Μετὰ δὲ τοῦτο Καμβύσης ὡς τάχιστα εἰς Σοῦσα στρατεύσασθαι ἐπὶ τὸν μάγον ἤρξατο. Ἀλλὰ ἐν Συρίᾳ αὐτὸς ἐγίγνωσκεν, ὅτι τελευτὴ τοῦ βίου[1]) ταχὺ ἥξει. Διὰ τοῦτο[2]) μεταπεμψάμενος Περσῶν τῶν μεθ' αὑτοῦ τοὺς ἀρίστους ἔφρασεν αὐτοῖς πάντα τὰ περὶ[4]) τοῦ Σμέρδεως θανάτου· ἐκέλευσε δ' αὐτοὺς τὸν μάγον τὸν τοῦ Σμέρδεως ὀνόματος ἁπτόμενον[5]) κατασφάξαι καὶ μὴ φέρειν[6]) τὴν ἀρχὴν αὖθις εἰς Μήδους ἥκουσαν. (Τὸ γὰρ γένος[7]) οἱ μάγοι πάντες Μῆδοι ἦσαν). — Μετὰ δὲ ταῦτα ἀποθνήσκει Καμβύσης ὁ Κύρου, βασιλεύσας μὲν ἑπτὰ ἔτη καὶ μῆνας πέντε, οὐ καταλείπων δὲ τέκνον, οὔτε υἱὸν οὔτε θυγατέρα. — Περσῶν δὲ οἱ ἀκούσαντες οὐκ ἐπείσθησαν, τοὺς μάγους ἔχειν τὰ πράγματα[8]), ἀλλ' ἐνόμισαν φθόνῳ τοῦ ἀδελφοῦ λέξαι Καμβύσην ἃ ἔλεξεν, ἵνα φθείροι αὐτόν. Οὕτως ὁ μάγος ὑπ' οὐδενὸς κεκωλυμένος ἐβασίλευε, τοῦ Σμέρδεως τοῦ Κύρου ὀνόματος ἁπτόμενος.

4. Ὀγδόῳ δὲ μηνὶ τῆς βασιλείας ἐγίγνωσκον οἱ ἑπτὰ τῶν Περσῶν ἄρχοντες (οἳ σὺν βασιλεῖ πάντα τὰ πράγματα ἐβουλεύοντο), ὅτι βασιλεὺς ἦν οὐ Σμέρδις ὁ Κύρου, ἀλλ' ὁ μάγος Σμέρδις. Βουλευσάμενοι δὲ οὗτοι οἱ ἑπτά, εἰ[1]) πλείους συλλέξαιεν ἢ[1]) αὐτίκα μόνοι τοῦ πράγματος ἅψαιντο[2]), τέλος ἐψηφίσαντο, αὐτίκα πρᾶξαι. Ἐπίστευον δέ, Περσῶν τοὺς πρὸς τοῖς βασιλείοις[3]) φυλάττοντας οὐ κωλύσειν ἐμβαίνοντας[4]) ἑαυτούς, ἄνδρας τῶν Περσῶν ἀρίστους. Ἐπεὶ δὲ ἦσαν πρὸς ταῖς πύλαις τῶν βασιλείων, ἐγίγνετο[5]), ὡς ἠλπίκεσαν· βλέποντες γὰρ οἱ φύλακες ἄνδρας τῶν Περσῶν τοὺς λαμπροτάτους οὐκ ἐκώλυσαν ἐμβαίνοντας. Οὕτως οἱ ἑπτά, οὐδενὸς κωλύοντος, παρὰ[6]) τὼ μάγω ἦκον καὶ κατέσφαξαν. Κατασφάξαντες δὲ οἱ ἑπτὰ τὼ μάγω, ἀποκόψαντες αὐτῶν τὰς κεφαλάς, ἔξω πορεύονται καὶ τοῖς ἄλλοις Πέρσαις τὸ πρᾶγμα ἀγγέλλουσι, τὰς κεφαλὰς φαίνοντες. Οἱ δὲ Πέρσαι, ἀκούσαντες τῶν μάγων τὸν θάνατόν τε καὶ ἃ ἐψευσμένοι ἦσαν[7]), δίκαιον ἐνόμισαν, ὃ οἱ ἑπτὰ ἐπεπράχεσαν, καὶ ἐπείθοντο τοῖς ἑπτά.

Vor I. ist das Pensum vermehrt durch: Verba contracta auf *έω* und *άω* — von denen auf *όω* nur Tempusbildung (ohne Contraction das Präsens und Imperfect) — *ἐκάλεσα* — Augment *ει*.

I. Persisch-griechische Geschichte: 7. Dareios wird König — zieht nach Europa gegen die Skythen zu Felde.

1. Μετ' ὀλίγας δὲ ἡμέρας οἱ ἑπτὰ βουλευσάμενοι ἐψηφίσαντο περὶ τῆς βασιλείας τόδε· ‚παυομένης νυκτὸς ἀναβαίνειν[1]) ἐπὶ τοὺς ἵππους καὶ πρὸ τῆς πόλεως συλλέγεσθαι[2])· οὗτινος δὲ ὁ ἵππος, ἡλίου ἀνατέλλοντος[3]), πρῶτος φθέγξαιτο[4]), τοῦτον ἔχειν[5]) τὴν βασιλείαν.' Τὸν μὲν γὰρ ἥλιον οἱ Πέρσαι θεὸν ἡγοῦνται καὶ θύουσιν αὐτῷ· ἐπίστευον δ' οἱ ἑπτά, τὸν θεόν, ἀναγκάζοντα τῶν ἵππων τινὰ φθέγξασθαι, αὐτὸν δηλώσειν, ὄντινα τῶν ἑπτὰ τῆς ἀρχῆς ἀξιώσαι. Ἐφθέγξατο δὲ πρῶτος ὁ Δαρείου ἵππος, καὶ τοῦ ἵππου τοῦτο ποιήσαντος οἱ ἐξ ἀποβαίνουσί τε καὶ Δαρεῖον ὡς βασιλέα ἐτίμησαν.

2. Ἑβδόμῳ δ' ἔτει τῆς ἀρχῆς Δαρεῖος ἐπὶ Σκύθας ἐστρατεύσατο. Ὤικουν δὲ οἱ Σκύθαι ἐν Εὐρώπῃ, ἀπὸ τοῦ Ἴστρου ποταμοῦ μέχρι τοῦ Ταναΐδος ποταμοῦ, τὸν Εὔξεινον Πόντον πρὸς μεσημβρίαν ἔχοντες. Ἦγε δὲ Δαρεῖος ἐπὶ τοὺς Σκύθας πάντα τὰ ἔθνη, ὧν ἦρχεν· ἠριθμήθησαν δὲ τοῦ στρατοῦ μυριάδες ἑβδομήκοντα· νῆες[1]) δὲ συνηθροίσθησαν ἑξακόσιαι. Χωρήσας[2]) δὲ Δαρεῖος διὰ τοῦ Βοσπόρου εἰς τὴν Εὐρώπην τῷ ναυτικῷ στρατῷ προσέταξε πλεῖν εἰς τὸν Πόντον μέχρι τοῦ Ἴστρου ποταμοῦ, ἐπεὶ δὲ ἥκοιεν εἰς τὸν Ἴστρον ζεῦξαι τὸν ποταμὸν καὶ ἑαυτὸν περιμένειν· ἡγοῦντο[3]) δὲ τοῦ ναυτικοῦ στρατοῦ οἱ Ἴωνες, πλείστας ναῦς παρέχοντες.[4]) Ὁ δ' οὖν ναυτικὸς στρατὸς ἔπλει εἰς τὸν Ἴστρον καὶ ἔζευξεν. Δαρεῖος δὲ ἀπὸ τοῦ Βοσπόρου ἐπορεύετο διὰ τῆς Θρᾴκης. Ἄνευ μάχης δὲ πάντες τῶν Θρᾳκῶν, δι' ὧν ἐπορεύετο, ὑπήκοοι αὐτῷ ἐγίγνοντο. Ὡς δ' ἦκε Δαρεῖος καὶ ὁ μετ' αὐτοῦ στρατὸς ἐπὶ τὴν τοῦ Ἴστρου γέφυραν, ἐνταῦθα, διαχωρησάντων πάντων, Δαρεῖος τοὺς Ἴωνας καὶ τοὺς ἄλλους ναυτικοὺς μένειν καὶ τὴν γέφυραν φυλάξαι ἐκέλευσεν.

3. Οἱ δὲ Σκύθαι, νοήσαντες, ὡς οὐχ ἱκανοί[1]) εἰσι τὸν Δαρείου στρατὸν μάχῃ νικᾶν, ἐψηφίσαντο, μάχην μὲν μηδεμίαν ποιεῖσθαι, ἀναχωροῦντες δὲ ἀεὶ τὰς πηγὰς ἀχρήστους ποιῆσαι

χιλόν τε ἐν τῇ γῇ μηδένα καταλείπειν. Τοῖς γὰρ Σκύθαις οὔτε πόλεις οὔτε οἰκοι ἦσαν, ἔζων τε οὐκ ἀπὸ ἀγροῦ, ἀλλ' ἀπὸ κτηνῶν· πάντες δὲ ἱππεῖς ἦσαν, καὶ τὰ οἰκήματα δὲ[2]) αὐτοῖς ἦν ἐπὶ ζευγῶν. Διὰ τοῦτο οἱ Σκύθαι ῥᾳδίως ἀνεχώρησαν. Οἱ δὲ Πέρσαι, ὡς ἐγίγνωσκον τοὺς Σκύθας ἀναχωροῦντας, εἵποντο κατὰ στίβον ἀεὶ ἀναχωρούντων.

4. Προχωροῦντος δὲ οὕτω τοῦ πολέμου, τέλος Δαρεῖος ἐν ἀπορίαις εἶχετο.[1]) Καὶ οἱ Σκύθαι γιγνώσκοντες ἔπεμψαν κήρυκα, δῶρα Δαρείῳ φέροντα ὄρνιν[2]) τε καὶ μῦν καὶ βάτραχον καὶ οἰστοὺς πέντε. Ἤθελε[3]) δὲ ταῦτα τὰ δῶρα λέγειν[3]) τάδε· Ἢν μὴ ὡς ὄρνιθες φεύγητε πρὸς τὸν οὐρανόν, ὦ Πέρσαι, ἢ ὡς μύες ὑπὸ τὴν γῆν[4]), ἢ ὡς βάτραχοι εἰς τὸ ὕδωρ, οὐκ ἀπονοστήσετε οἴκαδε, τοῖσδε τοῖς οἰστοῖς βαλλόμενοι.'

5. Καὶ τῶν Περσῶν δεινῶς ἤδη ὑπό τε τῶν Σκυθῶν καὶ ἀπορίᾳ σίτων πιεζομένων, Δαρεῖος φυγὴν ἐκ τῆς Σκυθίας ἐβούλευσεν. Διὰ οὖν τοῦτο τοὺς ἀσθενεῖς τῶν ἀνδρῶν ἐν τῷ στρατοπέδῳ καταλείπων, καὶ καταλείπων δὲ πλεῖστα τῶν σκευῶν, ὡς τάχιστα ὀπίσω ἐπὶ τὸν Ἴστρον ὥρμησεν. Τῶν δὲ Σκυθῶν τινες ἥκοντες πρὸς τὴν γέφυραν ἐκέλευσαν τοὺς Ἴωνας φυλάττοντας ἐν ταῖς ναυσὶ τὴν γέφυραν λῦσαι. Πρὸς ταῦτα[1]) οἱ τῶν Ἰώνων τύραννοι ἐβουλεύσαντο. Ἦν δὲ ἐν τοῖς Ἕλλησι τοῖς τὴν γέφυραν φυλάττουσι Μιλτιάδης Ἀθηναῖος. Οὗτος γὰρ ὑπὸ τῶν Ἀθηναίων εἰς Χερρόνησον ἐπέπεμπτο ὡς στρατηγήσων[2]) ἐκεῖ τῶν Ἀθηναίων ἀποίκων καὶ τῶν ἄλλων ἐν τῇ Χερρονήσῳ οἰκούντων. Δαρεῖος δὲ ἐπὶ Σκύθας πορευόμενος ἠνάγκασε Μιλτιάδην ὑπήκοον ἑαυτῷ γίγνεσθαι καὶ ἐπὶ Σκύθας συστρατεύσασθαι. Τούτου τοῦ Μιλτιάδου ἦν γνώμη, πείθεσθαι τοῖς Σκύθαις καὶ ἐλευθέρους ποιεῖν τοὺς ἐν τῇ Ἀσίᾳ Ἕλληνας. Ἱστιαίου δὲ τοῦ Μιλησίου ἐναντία ἦν γνώμη, λέγοντος τάδε· Ὦ ἄνδρες, νῦν μὲν διὰ Δαρεῖον ἕκαστος ἡμῶν ἄρχει τῆς ἑαυτοῦ πόλεως, — τῆς δὲ Δαρείου δυνάμεως καταλυθείσης, οὔτε ἐγὼ Μιλησίων ἔτι[3]) ἄρξω οὔτε ὑμῶν οὐδεὶς[4]) ἄλλων· ἀξιώσει γὰρ ἑκάστη τῶν πόλεων ἐλευθέρα εἶναι μᾶλλον ἢ ὑπὸ τυράννῳ εἶναι.' — Ἱστιαίου δὲ τὴν γνώμην ταύτην δηλώσαντος, αὐτίκα πάντες τούτῳ ἐπείθοντο, πρότερον τὴν Μιλτιάδου γνώμην περὶ πλείστου ποιησάμενοι.[5])

6. Μετὰ δὲ τοῦτο οἱ Πέρσαι πρὸς τὸν ποταμὸν[6]) ἥκοντες καὶ τὴν γέφυραν οὐ λελυμένην εὑρίσκοντες ἐσώθησαν. Δαρεῖος

δὲ διὰ τῆς Θρᾴκης πορευόμενος ἦκεν εἰς Σηστὸν τῆς Χερρονήσου.[1]) Ἐκεῖθεν δὲ διεχώρησε ταῖς ναυσὶν εἰς τὴν Ἀσίαν. Λείπει δὲ Δαρεῖος ἐν τῇ Εὐρώπῃ τῆς στρατιᾶς ὀκτὼ μυριάδας, κελεύσας ὡς πλεῖστα ἐν τῇ Εὐρώπῃ ἔθνη καὶ πόλεις καταστρέφεσθαι. Κατεστρέψαντο δ' οὗτοι πρῶτον μὲν τῆς Θρᾴκης ὅσους οὐχ ὁ Δαρεῖος αὐτὸς κατεστρέψατο[2]), ἔπειτα δὲ πρὸς ὅσους οὐχ ὁ Δαρεῖος αὐτὸς κατεστρέψατο[2]), ἔπειτα δὲ πρὸς ὅσους ὁρμήσαντες τῶν Μακεδόνων τοὺς πλείστους. Ἦσαν δὲ ἐν Θρᾴκῃ τε καὶ ἐν Μακεδονίᾳ πολλαὶ πόλεις Ἑλλήνων ἐπὶ τῇ θαλάττῃ κείμεναι[3])· τούτων τότε αἱ πολλαὶ[4]) ὑπὸ Πέρσαις ἐγίγνοντο[5]) καὶ ὡς Θρᾳκές τε καὶ Μακεδόνες Δαρείῳ δασμὸν ἔφερον.

Vor K ist das Pensum vermehrt durch: Verbum liquidum, Futur und Aorist Activi und Medii.

K. Persisch-griechische Geschichte: 8. Anfänge des jonischen Aufstandes.

1. Δαρεῖος ὡς ἀναχωρήσας ἐξ Εὐρώπης εἰς Σάρδεις ἦκε, μνήμην εἶχε[1]) τῆς ἐξ[2]) Ἱσταίου τοῦ Μιλησίου εὐεργεσίας· μεταπεμψάμενος δὲ αὐτὸν εἰς Σάρδεις ἠρώτησε, τίνος μισθοῦ ἐπιθυμοίη. Ὁ δὲ Ἱστιαῖος αἰτεῖ χώραν τινὰ ἐν Θρᾴκῃ κειμένην παρὰ[3]) τὸν Στρυμόνα ποταμόν, βουλόμενος ἐν αὐτῇ πόλιν οἰκίσαι. Διαπραξάμενος δὲ ἀπεχώρησεν. Τειχίζοντος[4]) δὲ ἤδη αὐτοῦ ἐν Θρᾴκῃ πόλιν, ἦκεν ὁ Δαρείου ἐν Θρᾴκῃ σατράπης εἰς Σάρδεις πρὸς Δαρεῖον καὶ ἔλεξε τάδε· Ὦ βασιλεῦ, τί ἐποίησας, ἀνδρὶ Ἕλληνι οὕτω σοφῷ ἐπιτρέψας[5]) κτήσασθαι πόλιν, οὗ ὕλη τέ ἐστι πολλὴ ναῦς ποιεῖσθαι καὶ ἄργυρος ἐν τῇ γῇ εὑρίσκεται, πλῆθός τε πολὺ μὲν Ἑλλήνων περιοικεῖ[6]), πολὺ δὲ βαρβάρων, οἳ ἄρχοντα νῦν ἔχοντες ποιήσουσιν, ἃ ἐκεῖνος παραγγελεῖ. Σὺ οὖν τοῦτον τὸν ἄνδρα παῦσον ταῦτα ποιοῦντα, ἵνα μή ποτε πόλεμός σοι γίγνηται ἀπ' αὐτοῦ.' Ταῦτα ἀποφήνας ὁ σατράπης ῥᾳδίως ἔπεισε Δαρεῖον. Μετὰ δὲ ταῦτα ἄγγελον ἀποστείλας Δαρεῖος παρήγγειλεν Ἱστιαίῳ εἰς Σάρδεις ἥκειν, ὡς συμβουλεύσοντι περὶ πραγμάτων μεγίστων βασιλεῖ. Τούτοις τοῖς λόγοις πιστεύσας Ἱστιαῖος καὶ ἅμα μέγα τι κρίνας[7]), βασιλέως σύμβουλος[8]) γίγνεσθαι, ἦκεν εἰς Σάρδεις. Ἥκοντι δὲ αὐτῷ ἀπέφηνε Δαρεῖος τάδε· Ἱστιαῖε, ἐγώ σε μετεπεμψάμην διὰ τόδε· ἐπεὶ ἀνεχώρησα ἀπὸ Σκυθῶν καὶ σύ μοι ἐγίγνου

ἐξ ὀφθαλμῶν, οὐδενὸς ἄλλου χρήματος οὕτως[9]) ἐπεθύμησα, ὡς σὲ βλέψαι τε καὶ εἰς λόγους σοι ἥκειν[10]), κρίνας, ὅτι τῶν ἀγαθῶν[11]) πάντων ἐστὶν ἄριστον ἀνὴρ φίλος τε καὶ σοφός. Νῦν οὖν τάδε σοι ἐγὼ παραινῶ[12])· Μίλητον μὲν ἔα[13]) καὶ τὴν νέαν ἐν Θρᾴκῃ πόλιν, σὺ δέ μοι ἑπόμενος εἰς Σοῦσα ἔχε, ἃ ἐγὼ ἔχω, ἐμός τε συντράπεζος[11]) ὢν καὶ σύμβουλος.' Ταῦτα Δαρεῖος ἀποφήνας ἀπεχώρησεν εἰς Σοῦσα ἅμα ἀγόμενος[15]) Ἱστιαῖον.

2. Τὴν δὲ Μιλήτου ἀρχὴν Ἱστιαῖος ἐπέτρεψεν[1]) Ἀρισταγόρᾳ, ἀνδρὶ συγγενεῖ. Μετὰ δὲ βραχὺ Ἀρισταγόρας, τοῖς Πέρσαις διὰ αἰτίαν τινὰ ἀπεχθανόμενος[2]), ἐφοβήθη[3]), μὴ Μιλήτου βασιλεύων ὑπὸ τῶν Περσῶν παυθείη.[4]) Φοβούμενος δὲ τοῦτο ἐβούλευε, πῶς[5]) στάσιν ποιησάμενος τοὺς Πέρσας ἀμύναιτο. Ἦκε δ' αὐτῷ ἐν τούτῳ τῷ χρόνῳ ὁ Ἱσταίου ἐκ Σούσων ἄγγελος, ὁ τὴν κεφαλὴν ἐπιγεγραμμένος.[6]) Ὁ γὰρ Ἱστιαῖος, βουλόμενος Ἀρισταγόρᾳ σημῆναι, στάσιν ἐπὶ βασιλέα ποιεῖσθαι, ἄλλως μὲν οὐκ εἶχεν[7]) ἀσφαλῶς σημῆναι, φυλαττομένων τῶν ὁδῶν, ὁ δὲ τῶν δούλων τῷ πιστοτάτῳ, ἀποκείρας[8]) τὰς τρίχας παντάπασιν, εἰς τὴν κεφαλὴν ἐπέγραψεν, ἃ ἐβούλευε· ἀναμείνας[9]) δὲ τὰς νέας τρίχας ἔπειτα ἀπέστειλεν αὐτὸν εἰς Μίλητον, ἐντειλάμενος αὐτῷ, ἐπεὶ ἥκοι εἰς Μίλητον, παραγγεῖλαι Ἀρισταγόρᾳ, ἀποκεῖραι ἑαυτῷ τὰς τρίχας καὶ βλέψαι τὴν κεφαλήν. Ταῦτα δὲ Ἱστιαῖος ἐποίησεν, ὅτι ἄκων[10]) ἐν Σούσοις μεῖναι ἠναγκάζετο· στάσεως δὲ Ἰώνων γιγνομένης, πολλὰς εἶχεν ἐλπίδας καταπεμφθήσεσθαι ἐπὶ Θάλατταν. Ἀρισταγόρας δὲ βουλευσάμενος μετὰ τῶν φίλων, ἐπεὶ καὶ οὗτοι παρῄνουν τὸ στασιάσαι, οὕτω δὴ[11]) πόλεμον ἐπὶ τοὺς Πέρσας ἐξέφηνεν.[12])

3. Μετὰ δὲ βραχὺν χρόνον Ἀρισταγόρας εἰς Λακεδαίμονα πλεῖ, ὡς βοήθειαν αἰτήσων. Καὶ πολλὰ μὲν πρὸς Κλεομένη τὸν βασιλέα ἔλεγεν, ὡς ῥᾳδίως Λακεδαιμόνιοι Πέρσας (πολέμου ἐμπειρότεροι ὄντες) νικήσοιεν, τέλος δὲ ὁ Κλεομένης τὸν Ἀρισταγόραν ἠρώτησεν, ὅσων ἡμερῶν[1]) ἀπὸ Θαλάττης τῆς Ἰώνων ὁδὸς εἴη[1]) παρὰ βασιλέα. Ὁ δὲ Ἀρισταγόρας ἀπεκρίνατο, τριῶν μηνῶν εἶναι τὴν ὁδόν. Ὁ δὲ Κλεομένης οὐκ ἐάσας αὐτὸν πλέω[2]) λέγειν, ἀπεκρίνατο· ,Ὦ ξένε Μιλήσιε, ἀπαλλάττου[3]) ἐκ Σπάρτης πρὸ νυκτός· οὐδὲν γὰρ σοφὸν λέγεις Λακεδαιμονίοις, ἐθέλων αὐτοὺς ἀπὸ θαλάττης τριῶν μηνῶν ὁδὸν ἀπάγειν.' Οὕτως ὁ Κλεομένης καὶ οἱ Λακεδαιμόνιοι οὐκ ἐπείσθησαν.

4. Ἀποχωρήσας δὲ Ἀρισταγόρας ἐκ τῆς Σπάρτης ἦκεν εἰς τὰς Ἀθήνας. Ἔλεξε δὲ πρὸς τὸν δῆμον, ὡς οἱ Μιλήσιοι τῶν Ἀθηναίων εἰσὶν ἄποικοι, καὶ δίκαιον εἴη, τοῖς ἀποίκοις ἀμῦναι· καὶ πολλὰ ἐπηγγείλατο, μάλα δεόμενος, ἔστε[1]) ἀνέπεισεν αὐτούς. Ἀναπεισθέντες δὲ οἱ Ἀθηναῖοι ἐψηφίσαντο, εἴκοσι ναῦς ἀποστεῖλαι ἀμυνούσας Ἴωσιν. Αὗται δὲ αἱ νῆες ἀρχὴ μεγάλων κακῶν ἐγίγνοντο Ἕλλησί τε καὶ βαρβάροις. Ἐψηφίσαντο δὲ οἱ Ἀθηναῖοι τὰς ναῦς ἀποστεῖλαι οὐ μόνον φιλίᾳ Ἰώνων, ἀλλὰ καὶ φόβῳ Ἱππίου. Ἱππίας γὰρ ὁ Πεισιστράτου ἄρξας Ἀθηνῶν ἔτη ἑπτακαίδεκα, καταλυθεὶς δὲ τῆς ἀρχῆς ὑπὸ τοῦ δήμου καὶ τῶν Λακεδαιμονίων, εἰς Σίγειον τὸ ἐπὶ[2]) τῷ Σκαμάνδρῳ ἐκεχωρήκει, ὃ Πεισίστρατος Ἀθηναίοις πολέμῳ παρὰ[3]) τῶν Μυτιληναίων ἐκτήσατο. Οἰκῶν δὲ Ἱππίας ἐν τῇ Ἀσίᾳ πᾶν χρῆμα ἐκίνει[4]) διαβάλλων[5]) τοὺς Ἀθηναίους πρὸς Δαρεῖον, ὅπως αἱ Ἀθῆναι εἶεν ὑφ' ἑαυτῷ τε καὶ Δαρείῳ. Ἐλπίζοντες[6]) οὖν οἱ Ἀθηναῖοι ἀπὸ Ἱππίου τε καὶ Περσῶν πόλεμον ἑτοιμότεροι τοῖς Ἴωσιν ἤμυναν.

Vor L. ist das Pensum vermehrt durch: Verbum liquidum beendet (nur regelmäfsige Formen, ohne Tempora II).

L. Persisch-griechische Geschichte: 10. Weiterer Verlauf und Ende des jonischen Aufstandes.

1. Ἴωνες, ἐπειδὴ οἱ Ἀθηναῖοι ἦκον εἴκοσι ναυσὶν ἅμα ἀγόμενοι[1]) Ἐρετριέων πέντε τριήρεις, πάσης τῆς δυνάμεως εἰς Ἔφεσον ἀγερθείσης, ἐκεῖθεν ὁρμώμενοι[2]) ἐστρατεύσαντο εἰς Σάρδεις. Αἱροῦσι δὲ Σάρδεις ὡς ἦκον, οὐδενὸς ἀμυναμένου[3]). αἱροῦσι δὲ χωρὶς τῆς ἀκροπόλεως· τὴν δὲ ἀκρόπολιν κατεῖχεν[4]) ὁ σατράπης, ἀγείρας δύναμιν ἀνδρῶν οὐκ ὀλίγην. Τοὺς δὲ Λυδοὺς[5]) μὴ ἀμῦναι τοῖς Ἴωσι καὶ τὴν εἰς Σάρδεις στρατείαν τὰ τῶν Ἰώνων πράγματα μὴ ὠφελῆσαι[6]), ἀλλὰ δεινῶς σφῆλαι[7]), ἐποίησε τόδε.[8]) Τῶν οἰκων ἕνα ὡς τῶν στρατιωτῶν τις ἔκαιεν, αὐτίκα ἀπ' οἴκου εἰς οἶκον χωροῦν[9]) τὸ πῦρ ἥψατο[10]) τῆς πόλεως πάσης. Καιομένης δὲ τῆς πόλεως, οἱ Λυδοὶ ἀποκεκλειμένοι πάντοθεν, τοῦ πυρὸς τὰ ἔσχατα τῆς πόλεως φθείροντος, συνέῤῥεον[11]) εἴς τε τὴν ἀγορὰν καὶ ἐπὶ τὸν Πακτωλὸν ποταμόν, ὃς αὐτοῖς ἐκ τοῦ Τμώλου[12]) διὰ μέσης τῆς ἀγορᾶς ῥεῖ καὶ ἔπειτα εἰς τὸν Ἕρμον ποταμὸν ἐκβάλλει· ἀγερθέντες δὲ

ἐπὶ τὸν Πακτωλὸν καὶ εἰς τὴν ἀγορὰν οἱ Λυδοὶ ἤρξαντο ἀμύνασθαι. Οἱ δὲ Ἴωνες ὁρῶντες τούτους δεινῶς ἀμυνομένους, πολλὴν δὲ αὐτοῖς βοήθειαν[13]) ἤδη ἥκουσαν ἀκούοντες οὐκ ἐτόλμων μεῖναι, ἀλλ' ἀνεχώρησαν φοβηθέντες εἰς Ἔφεσον. Ἤδη γὰρ οἱ Πέρσαι οἱ ἐντὸς Ἅλυος ποταμοῦ[14]) συναγερθέντες ἐβοήθουν. Καὶ ὡς ἐν Σάρδεσιν οὐκέτι τοὺς Ἴωνας ηὕρισκον, ἑπόμενοι κατὰ στίβον αἱροῦσιν[15]) αὐτοὺς ἐν Ἐφέσῳ.[16]) Καὶ ἀντετάξαντο μὲν οἱ Ἴωνες, πολὺ δὲ ἐνικήθησαν, καὶ πολλοὺς αὐτῶν οἱ Πέρσαι ἀπέκτειναν. Μετὰ δὲ τοῦτο αὐτίκα οἱ Ἀθηναῖοι ἀπολείπουσί τε τοὺς Ἴωνας καὶ οὐκέτι ἀμυνεῖν αὐτοῖς ἀπέφηναν.

2. Βασιλεὺς δὲ Δαρεῖος (ὡς ἐξηγγέλθη, Σάρδεις πυρὶ διαφθεῖραι τοὺς Ἀθηναίους καὶ Ἴωνας, ἡγεμόνα δὲ εἶναι τοῦ πολέμου τὸν Μιλήσιον Ἀρισταγόραν,) καλέσας Ἱστιαῖον ἠρώτησεν, εἰ σὺν τῇ Ἱστιαίου βουλῇ[1]) τοῦτο ἐπράχθη. Ἀπεκρίνατο πρὸς ταῦτα Ἱστιαῖος. „Ὦ βασιλεῦ, εἰ πράττει ὁ ἐμὸς ὕπαρχος[2]), ἃ σύ μοι ἀπέφηνας, αὐτὸς μόνος τούτου αἴτιός ἐστιν. Κρῖνον οὖν, ὦ βασιλεῦ, τί[3]) εἰργάσω, ἐμὲ ἀπὸ θαλάττης ἀποκαλέσας. Ἴωνες γάρ, ἐπεὶ ἐγὼ ἐξ ὀφθαλμῶν αὐτοῖς ἐγιγνόμην, ἐποίησαν, ὧν πάλαι ἐπιθυμίαν εἶχον· ἐμοῦ δὲ ὄντος[4]) ἐν Ἰωνίᾳ, οὐδεμία ἂν πόλις ἐστασίασεν.[4]) Νῦν οὖν ὡς τάχιστά με ἀπόστειλον εἰς τὴν Ἰωνίαν, ἵνα σοι ἐκεῖνά τε πάντα[5]) σώσω καὶ τὸν ἐμὸν ὕπαρχον τὸν ταῦτα μηχανησάμενον ἐνθάδε σοι κομίσω.“ Ἱστιαῖος μὲν δὴ ταῦτα ἐπηγγείλατο ψευσάμενος[6]), Δαρεῖος δὲ ἐπείσθη καὶ αὐτὸν ἀπέστειλεν, ἐντειλάμενος, παραγίγνεσθαι ἑαυτῷ[7]) ὀπίσω εἰς τὰ Σοῦσα, ἐπεὶ ἃ ἐπηγγείλατο διαπεπραγμένος εἴη.

3. Περσῶν δὲ οἱ ἐν Ἐφέσῳ μάχῃ νικήσαντες τὰς πόλεις τὰς τῶν Ἑλλήνων ἐπόρθουν. Κατεστραμμένων δὲ ἐνίων[1]), Ἀρισταγόρας βουλεύων, ὡς σωτηρίαν τινὰ ἔχοι, εἰ ἐκβάλλοιτο ἐκ τῆς Μιλήτου, ἐψηφίσατο ἀποικίαν ἄγειν εἰς ἐκείνην τὴν χώραν τῶν Θρᾳκῶν, ἣν Ἱστιαίῳ Δαρεῖος δῶρον ἔνειμεν.[2]) Καὶ τὴν μὲν Μίλητον ἐπέτρεψεν ἄλλῳ, αὐτὸς δὲ συναγείρας πάντα τὸν βουλόμενον[3]) πλεῖ εἰς τὴν Θρᾴκην καὶ εἶχε τὴν χώραν, ἣν πρότερον εἶχεν Ἱστιαῖος. Ἐκ δὲ ταύτης ὁρμώμενος[4]) διαφθείρεται ὑπὸ Θρᾳκῶν, αὐτός τε καὶ ὁ στρατὸς αὐτοῦ.

4. Ἱστιαῖος δὲ πεμφθεὶς ὑπὸ Δαρείου ἦκεν εἰς Σάρδεις. Ἠρώτησε δὲ αὐτὸν ὁ Σάρδεων σατράπης, διὰ τί κρίναι Ἴωνας

στάσιν ποιήσασθαι.[1]) Ὁ δὲ ἔλεξεν οὐ γιγνώσκειν[2]), ἀλλὰ θαυμάζειν πάντα τὰ πραχθέντα. Ὁ δὲ σατράπης ἀπεκρίνατο· „Οὕτως, Ἱστιαῖε, ἔχει κατὰ[3]) ταῦτα τὰ πράγματα· τοῦτο τὸ ὑπόδημα ἐποίησας[1]) μὲν σύ, ὑπεδήσατο δὲ Ἀρισταγόρας.“ Ἱστιαῖος δὲ φοβηθείς, ὡς αἴτιος τῆς στάσεως ὑπὸ τοῦ σατράπου κρινόμενος[5]), νυκτὸς φεύγει ἐπὶ θάλατταν καὶ εἰς Μίλητον πορεύεται. Οἱ δὲ Μιλήσιοι οὐκ ἐδέξαντο αὐτόν· ἄσμενοι[5]) γὰρ ἀπηλλαγμένοι[6]) Ἀρισταγόρου οὐ πρόθυμοι ἦσαν, ἄλλον τύραννον δέχεσθαι εἰς τὴν χώραν. Ἱστιαῖος δὲ εἰς Μυτιλήνην χωρήσας ἔπεισε Λεσβίους πορίσαι[7]) ἑαυτῷ ὀκτὼ τριήρεις. Ἔχων δὲ ταύτας πλεῖ εἰς Βυζάντιον. Ἐνταῦθα δὲ τὰ ἐκ τοῦ Πόντου ἐκπλέοντα πλοῖα τὰ τῶν ἐν Ἀσίᾳ Ἑλλήνων ἐλάμβανε[8]), πλὴν ὅσοι Ἱστιαίῳ ἀπέφηναν[9]) ἕτοιμοι εἶναι πείθεσθαι.

5. Ἐπὶ δὲ Μίλητον αὐτὴν ἡ Περσῶν δύναμις ναυτική τε καὶ πεζὴ συνηγέρθη πᾶσα. Οἱ δὲ Ἴωνες, ἀγγελθέντων τούτων ἐψηφίσαντο, πεζὸν μὲν στρατὸν μὴ συναγεῖραι ἐπὶ Πέρσας, ἀλλὰ τὰ τείχη φυλάξαι αὐτοὺς τοὺς Μιλησίους· ἡ δὲ ναυτικὴ δύναμις πᾶσα συνηγέρθη ὡς τάχιστα εἰς Λάδην, ὡς ἀμυνοῦσα Μιλήτῳ· ἡ δὲ Λάδη ἐστὶ νῆσος μικρὰ ἐπὶ τῇ πόλει τῇ Μιλησίων κειμένη. Πασῶν δὲ τῶν νεῶν ὁ πᾶς ἀριθμὸς ἦν τρεῖς καὶ πεντήκοντα καὶ τριακόσιαι τριήρεις· τῶν δὲ βαρβάρων ἦν τὸ πλῆθος τῶν νεῶν ἑξακόσιαι. Συναγερθεῖσι δὲ τοῖς Ἴωσιν εἰς τὴν Λάδην ὁ Φωκαεὺς στρατηγὸς Διονύσιος ἐπηγγείλατο τάδε· „Νῦν ὑμῖν κρίσις ἐστίν, ἄνδρες Ἴωνες, ἢ[1]) εἶναι ἐλευθέροις ἢ δούλοις· νῦν οὖν ἐμοί τε πείθεσθε καὶ ἐμοὶ ὑμᾶς αὐτοὺς ἐπιτρέψατε[2]) ἀσκεῖν, καὶ ὑμῖν ἐπαγγέλλομαι, τοὺς πολεμίους μαχομένους πολὺ νικηθήσεσθαι.“ Ταῦτα ἀκούσαντες οἱ Ἴωνες ἐπέτρεψαν σφᾶς αὐτοὺς τῷ Διονυσίῳ. Ὁ δὲ ἑκάστης ἡμέρας, τὰς ναῦς ὡς εἰς μάχην τάξας, εὖ τὴν δύναμιν ἤσκει παρεῖχέ τε τοῖς Ἴωσι πόνον δι' ἡμέρας. Καὶ μέχρι μὲν ἡμερῶν ἑπτὰ ἐπείθοντό τε καὶ ἐποίουν τὰ κελευόμενα, τῇ δ' ὀγδόῃ οἱ Ἴωνες, ἄπειροι ὄντες πόνων τοιούτων, χαλεπήναντες[3]) ἐσήμηναν πρὸς ἀλλήλους, μηκέτι πείθεσθαι τῷ Φωκαεῖ. Ταῦτα ἐσήμηναν ἀλλήλοις, καὶ αὐτίκα πείθεσθαι οὐδεὶς ἤθελεν, ἀλλὰ σκηνὰς ποιησάμενοι ἐν τῇ νήσῳ ἡσυχίαν ἦγον.[4]) Βλέψαντες δὲ ταῦτα ἐπέπλεον οἱ Πέρσαι· οἱ δὲ Ἴωνες ἀντετάξαντο. Ὡς δ' ἐμάχοντο ἀλλήλοις, ἀπιστία ἐξ αὐτῶν τῶν Ἰώνων τὰ πράγματα ἔσφηλεν.[5]) Πρὸ γὰρ τῆς μάχης οἱ Περσῶν στρατηγοὶ

τοῖς Ἴωσιν ἐπηγγελμένοι ἦσαν, οἵτινες μὲν Ἰώνων ἀπὸ τοῦ στρατοῦ οἴκαδε ἀναχωρήσοιεν, τούτους διὰ τὴν στάσιν οὐδὲν ζημιωθήσεσθαι· οἵτινες δὲ μάχῃ ἁμυνοῖντο, ὅτι τούτους ἡττηθέντας[6]) δούλους ἐκ τῆς χώρας ἀπάξοιεν, τὴν δὲ χώραν ἄλλοις ἐπιτρέψοιεν.[7]) Τούτων τῶν λόγων μνήμην ἔχοντες πρῶτοι οἱ Σάμιοι ἐκ τῆς τάξεως[8]) εἰς τὴν Σάμον ἀπέπλεον, βλέψαντες δὲ καὶ Λέσβιοι ταὐτὸ[9]) ἐποίουν, ἔπειτα δὲ καὶ ἄλλοι. Οἱ δὲ παραμείναντες ἐν τῇ μάχῃ, (ἦσαν δὲ οὗτοι Μιλήσιοι αὐτοὶ ναῦς παρέχοντες ὀγδοήκοντα καὶ Χῖοι ναῦς παρέχοντες ἑκατὸν καὶ ἄλλοι οὐ πολλοί), οὗτοι ἠμύναντο ἀνδρείως, ἔστε τῶν πολεμίων διαφθείραντες ναῦς πολλὰς ἀπέβαλλον[10]) τῶν ἑαυτῶν νεῶν τὰς πλείους. Οἱ δὲ λοιποὶ τῶν Ἑλλήνων ἢ ἀποπλέοντες ἐσώθησαν ἢ εἰς τὴν Μίλητον φεύγουσιν. Οἱ δὲ Πέρσαι τὴν Μίλητον πολιορκοῦντες ἐκ γῆς καὶ θαλάττης αἱροῦσιν ἕκτῳ ἔτει ἀπὸ τῆς στάσεως τῆς Ἀρισταγόρου καὶ διήρπασαν τὴν πόλιν. Οἱ δὲ ζωοὶ τῶν Μιλησίων ἤγοντο εἰς Σοῦσα. Βασιλεὺς δὲ αὐτοὺς Δαρεῖος κακὸν ἄλλο οὐδὲν ποιήσας κατῴκισε[11]) πρὸς τῷ Τίγρητι ποταμῷ ἐγγὺς τοῦ στόματος[12]) αὐτοῦ.

6. Ἱστιαίῳ δὲ περὶ Βυζάντιον συλλαμβάνοντι τὰ Ἰώνων πλοῖα ἐκπλέοντα ἐκ τοῦ Πόντου ἐξηγγέλθη τὰ περὶ Μιλήτου. Ἀκούσας δὲ εἰς Λέσβον ἦγε τὴν ἑαυτοῦ δύναμιν. Ἐκεῖθεν δὲ εἰς τὴν πέραν χέρσον διαβαίνει. Ἐν δὲ τούτοις τοῖς χωρίοις ἦν Περσῶν στρατιὰ οὐκ ὀλίγη, οἳ μαχόμενοι αὐτόν τε Ἱστιαῖον ζωὸν λαμβάνουσι καὶ τὸν στρατὸν αὐτοῦ διέφθειραν. Φοβούμενοι δὲ οἱ σατράπαι τῶν Περσῶν, μὴ Ἱστιαῖος ζωὸς πρὸς βασιλέα ἀποπεμφθεὶς αὖθις μέγας παρὰ βασιλεῖ γίγνοιτο, ἀπέκτειναν αὐτόν, τὴν δὲ κεφαλὴν ταριχεύσαντες[1]) ἔστειλαν παρὰ βασιλέα εἰς Σοῦσα. Δαρεῖος δὲ χαλεπήνας, ὅτι αὐτὸν οὐ ζῶντα ἔστειλαν, τὴν κεφαλὴν τοῦ Ἱστιαίου τοῖς θεράπουσιν εὖ πλῦναι παρήγγειλε καὶ θάψαι ὡς ἀνδρὸς μεγάλως ἑαυτόν τε καὶ τοὺς Πέρσας εὖ ποιήσαντος. — Ὁ δὲ ναυτικὸς στρατὸς ὁ Περσῶν ἐκ Μιλήτου ὁρμώμενος αἱρεῖ ῥᾳδίως τάς τε νήσους καὶ τὰς ἐν τῇ χέρσῳ πόλεις Ἰώνων τε καὶ Αἰολέων καὶ Ἑλλησποντίων. Οὕτως οἱ ἐν τῇ Ἀσίᾳ Ἕλληνες αὖθις ὑπὸ Πέρσαις ἐγίγνοντο.

Anmerkungen.

(Zur Erleichterung der Schülerpräparation.)

A I. 1. *ἐπεί* als (Temporalpartikel) — *Οἰδίπους* Ödipus, König von Theben — *ἀπέθνησκεν* Imperfect von *ἀποθνήσκω* ich sterbe. Übersetze „gestorben war“ (denn das griechische Imperfect im Nebensatze kann im deutschen oft durch das Plusquamperfect übersetzt werden) — *οἱ υἱοὶ αὐτοῦ* die Söhne desselben, seine Söhne. Die Casus obliqui von *αὐτός* entsprechen denen des lateinischen is, ea, id. — *βασιλεύω* c. Gen. ich bin König über (ein Land, Volk), ich herrsche über. — **2.** *ἐκβάλλω* werfe hinaus, vertreibe. — **3.** *πρός* c. Acc. zu (ad) — *ὅς*, Gen. *οὗ*, Pronomen relativum „welcher“ — *οἱ Ἀργεῖοι* die Argiver, Einwohner der Stadt und des Landes Argos (im Peloponnes) — *αὐτὸν* ihn — *ὁ σύμμαχος* der Bundesgenosse. *σύμμαχον εἶναι* = sein Bundesgenosse zu sein. *εἶναι* Infinitiv = esse. — **4.** *ἐπὶ* c. Acc. „gegen“.

A II. 1. *ἑπτά* indeclin. „sieben“ — *οὖν* (nachgestellt) daher — *λέγεται* wird genannt. — **2.** *καὶ* auch — *τάττεται* wird aufgestellt — *ἕκαστος* 3 ein jeder — *εἷς* (Zahlwort, Circumflex!) einer — *Ἀργεῖος* hier Adjectiv „Argivisch“. — **3.** *ὀλίγος* 3 gering — *βαίνω* gehe, *ἀναβαίνω* steige hinauf. *ἀνά* c. Acc. „auf — hinauf“. *τὸ τεῖχος* die Mauer, Stadtmauer — *ἤδη* schon — *Ζεύς* der Gott Zeus (Juppiter) — *ἀποκτείνω* töte (= *κτείνω*) — *αὐτὸν* ihn — *ὁ σκηπτός* der Blitz — *φόβῳ* aus Furcht (vor) — *ἀποβαίνουσιν ὀπίσω* weichen zurück. *ἀποβαίνω* gehe weg, *ὀπίσω* Adv. zurück.

A III. 1. *ἔπειτα* Adv. darauf — *ὅτι* daſs (Aussagesatz) — *εἰσίν* sie sind (übersetze „seien“) — *μόνω* beide allein — *ὁ ἕτερος ἐπὶ τὸν ἕτερον* der eine gegen den andern. *ἕτερος* 3 der eine oder andere von zweien — *ἐρίζω* wettkämpfe, kämpfe; *περί* c. Gen. „über, in betreff (um)“. — **2.** *παίω* schlage (haue, treffe). — **3.** *αὖθις* Adv. wieder, wiederum — *σῴζεται* wird gerettet, rettet sich.

B pron. rel. *ὅς, ἥ, ὅ*, Gen. *οὗ, ἧς* welcher, welche, welches, der, die, das. — **I. 1.** *Τυνδάρεως* Tyndareos, ein König von Sparta, Dativ *Τυνδάρεῳ* — *τῷ Σπ. βασιλεύοντι* Partizip durch einen Relativsatz: welcher König von Sparta war — *κάλλιστος* 3 der schönste, Superlativ von *καλός*. — **2.** *ἐπὶ τὸν Ἑ. γάμον* zur Bewerbung um H. (*ὁ γάμος* Hochzeit, Ehe, Bewerbung; die Präposition *ἐπί* c. A. zu, nach — hin bezeichnet oft den Zweck). — **3.** *ὅρκον λαμβάνειν* einen Eid nehmen, *παρά* c. Gen. „von“ — *ὅτι* daſs — *ἐκεῖνος* jener — *βοηθήσω* Futur: ich werde zu

Hülfe kommen, ich werde helfen — *ἄνδρα κρίνει* als Mann auswähle — *ἐάν τις* wenn jemand — *αὐτῷ* ihm — *ἁρπάζω* raube — *ἐθέλῃ* wolle (Konjunktiv abhängig von *ἐάν*) — *Ἔπειτα* Adv. darauf — *Μενέλαος, άου* Menelaos — *οὗ* dessen (Gen. von *ὅς*) — *Ἀγαμέμνων, ονος* Agamemnon — *Μυκήνη, ης* Mykene (Stadt im Peloponnes). — **4.** *μετά* c. Acc. „nach", *μετὰ ὀλίγον χρόνον* nach kurzer Zeit — *τὸν Μενέλαον ἐκέλευσεν* befahl dem Menelaos (*λαμβάνειν* zu übernehmen) — *ἐπεὶ* auch kausal „da" — *ἀπέθνησκον* gestorben waren. — *Κάστωρ* und *Πολυδεύκης* die Söhne des Tyndareos (Kastor und Pollux).

B II. 1. *ὕστερον* Adverb: später — *Πάρις, ιδος* Paris (Acc. *Πάριν*) — *Τροία, ας* Troja — *κομίζω* bringe, schaffe fort. — **2.** *Πρίαμος, ου* Priamos — *ἡ Ἴδη, ης* das Gebirge Ida — *Ἥρα, ας* Hera (Juno) — *ἡ Ἀθηνᾶ*, Gen. *Ἀθηνᾶς* die Göttin Athene (Circumflex!) — *Ἀφροδίτη, ης* Aphrodite (Venus) — *κρίνω* richte, entscheide — *τίς*; (masc. u. fem.) wer? welcher, welche? — *εἴη* wäre (Opt. Präs. zu *εἶναι* esse). — **3.** *Ἐὰν* wenn, *ἐμὲ* mich, *κρίνῃς* erklärst (für) — Futur *δώσω* ich werde geben, *ἐπὶ γάμῳ* zur Ehe, *σοι* dir. — **5.** *οὖν* daher — *πλέω* ich fahre (zu Schiff), Inf. *πλέειν* kontrahiert *πλεῖν*. — **6.** *ξενίζω* nehme als Gast auf (*ξένος*). — **7.** *πράττω* ich mache, bewirke — *φιλία* Liebe (dafs Liebe zu P. die Helena ergriff). — **8.** *πρός* c. Acc. „zu, nach" *ἀποφεύγω* ich fliehe, entfliehe.

B III. 1. *μιμνήσκω* ich erinnere jemand an etwas (Gen.) — *τοὺς βασιλεύοντας* = die Könige — *ὡς ἠγόρευσαν* wie sie gesagt hatten — *εἴ τις* wenn jemand. — **2.** *βοηθῆσαι* zu helfen (*βοηθήσω, ἐβοήθησα*). — **3.** *ἠθροίζοντο* es wurden versammelt, es versammelten sich — *εἰς Αὐλίδα τῆς Βοιωτίας* in Aulis, einer Stadt Böotiens. — **5.** *οἱ ἄρχοντες* die Anführer (*ἄρχω*) — *Αἴας, αντος* Ajax — *ὁ Λοκρός* der Lokrer (aus Lokris) — *ὁ Σαλαμίνιος* der Salaminier (aus Salamis).

C 1. *ὁ Μῆδος* der Meder — *ἡ Κασπία θάλαττα* das Kaspische Meer (*Κάσπιος* 3) — *Ἀστυάγης, ους* Astyages — *Κῦρος* Kyros — *ὧδε* Adv. so, auf folgende Weise.

[1]) *γείτων* kann auch adjektivisch übersetzt werden: „benachbart" — [2]) *λύειν* auflösen, stürzen.

C 2. *Μανδάνη* Mandane — *τὸ ὄναρ* der Traum — *ἄρδω* bewässere — *ὁ μάγος* der Magier (Priester und Traumdeuter der Meder) — *ἀντί* Präposition c. Gen. anstatt, an Stelle — *ἔνδοξος* berühmt — *ὑπήκοος* unterthänig, der Unterthan.

[1]) *ἐγίγνετο* wurde = entsprang (*ὡς* wie) — [2]) welcher ganz Asien bewässerte — [3]) es verhindern wollend = um dies zu verhindern — [4]) *γυναῖκα ἄγειν* als Weib zuführen = zum Weibe geben — [5]) *ἀνδρὶ Πέρσῃ* einem Perser. — *ἀνήρ* wird oft zu Bezeichnungen männlicher Personen hinzugesetzt; im Deutschen wird es dann meist nicht übersetzt.

C 3. *μετά* c. Acc. nach — *αὖθις* Adv. wiederum, zum zweiten Male — *μεταπέμπομαι* Med. schicke nach jemand, lasse mir jemand holen (Kompos. von *πέμπω*) — *τίκτω* gebäre — *Ἅρπαγος* Harpagos.

[1]) = wuchs — [2]) verbarg = überschattete — [3]) *ἐκ Περσῶν* von den Persern, aus Persien. — Der Volksname bezeichnet auch das Gebiet des Volkes — [4]) ergänze „sie" — [5]) *εἰ ..... τίκτοι* „denn wenn die Tochter einen Sohn gebäre", (der im Optativ stehende Nebensatz ist aus dem Sinne des übergeordneten Subjektes (Astyages) gesagt — [6]) befahl ihm — [7]) *φέρειν* wegtragen.

C 4. *ὁ βουκόλος* der Rinderhirt — *τέκνον ἐκβάλλειν* ein Kind aussetzen (*εἰς*: an einer einsamen Stelle) — *οἴκαδε* Adv. nach Hause (*οἶκος*).

[1]) der Plural *τὰ ὄρη* kann oft übersetzt werden „das Gebirge" — [2]) *ἐν ᾧ χρόνῳ* in welcher Zeit = während — [3]) *παιδὸς νεκρόν* den Leichnam eines Kindes = ein totes Kind — [4]) wie ein Sohn ihrer selbst = wie (als) ihr eigener Sohn.

C 5. *ὅτε* (Temporalpartikel) als — *δέκα* indecl. 10 — *παίζω* spiele — *εἷς* Gen. *ἑνός* einer.

[1]) = 10 Jahre alt — [2]) *φαίνειν* offenbaren, kenntlich machen — [3]) *πρᾶγμα ὧδε γ.* eine Begebenheit, welche folgendermafsen geschah (sich zutrug) — [4]) *τάττω* ordne an, bestimme — [5]) einem jeden — [6]) das, was von K. befohlen wurde — [7]) *ἄγω* führe herbei — [8]) *κρίνω* richte jemand = richte über jemand.

C 6. *πρός* c. Acc. zu, nach — hin.

[1]) Begebenheit — [2]) mit Gerechtigkeit = gerechter Weise — [3]) ich wurde ausgewählt — [4]) Strafe.

C 7. *ὅμοιος* 3 ähnlich — *ἐκπέμπω* (Kompos.) schicke hinaus.

[1]) *κρίνω* mit dopp. Acc. „ich halte für etwas".

C 8. *περί* c. Gen. über, in betreff (de) — *ἤδη* Adv. schon — *τὰ ὀνείρατα* die Träume — *ἐστί(ν)* er (sie, es) ist — *οὐκέτι* Adv. nicht mehr.

[1]) um zu beraten — [2]) *ἀνάγκη* mit zu ergänzender Kopula = es ist notwendig — [3]) = er ist schon König gewesen — [4]) Ende, Vollendung = Erfüllung — [5]) von seiten des Knaben — [6]) ist = droht.

C 9. *τὰ κρέα* das Fleisch — *ἕψω* koche — *γεύομαι* Med. ich esse (c. Gen.) — *πυνθάνομαι* frage — *ὁ τρίπους*, G. *τρίποδος* Dreifufs, Kessel.

[1]) ersann (eine gottlose Strafe) — [2]) aus Zorn — [3]) deutsch durch das Plusquamperfekt — [4]) ob — [5]) ergänze „ist, sei" — [6]) = die Überreste (*λοιπός* 3).

C 10. [1]) = nach Persien — [2]) tüchtig, tapfer.

C 11. *ἀεί* Adv. immer, stets — *ἡ ἐπιστολή* der Brief — Fut. *βοηθήσω* ich werde helfen.

[1]) *ἐπί* (*ἐπ'*) c. Acc. gegen — [2]) *καὶ* auch, *αὐτὸς* selber, selbst.

C 12. *ἵνα* damit — *τέλος* adverbialer Acc. am Ende, zuletzt — *λαμβάνω* nehme, nehme gefangen.

[1]) bis zum Ende — [2]) wie, als.

C 13. [1]) = welche den Medern unterthänig waren — [2]) *οἱ τότε βασιλεῖς* die damaligen Könige (das Adverb mit dem Artikel kann adjektivisch gebraucht werden).

D 1. *Κροῖσος, ου* (Croesus) — *ὁ Λυδός* der Lyder — *ἀπό* c. Gen. von-her — *τὸ Αἰγαῖον* das Ägäische Meer — *ὁ Ἅλυς, υος* (Acc. *τὸν*

Ἅλυν) der Fluſs Halys — ὁ *Αἰολεύς*, *έως* der Äoler — *πρός* c. Dat. bei (Frage wo?), *πρός* c. Akk. nach-hin, zu (Frage wohin?) — *Σάρδεις*, *εων* Sardes (nach *πόλις*) — *μέγιστος* 3 Superlativ von *μέγας* — *τὸ βασίλειον*, oft auch (weil mehrere Gebäude dazu gehören) *τὰ βασίλεια* der königliche Palast.

[1]) bis zu — [2]) auch — [3]) Medium: zu Felde gezogen, ausgezogen — [4]) von Asien *τὰ πρὸς τῷ Αἰγαίῳ* die Gegenden am Ägäischen Meer (besiedelten, besetzten) — [5]) auch.

D 2. *καί-καί* sowohl-als auch — *δέκα* indekl. zehn — *πρό* c. Gen. vor.

[1]) als groſs — [2]) deutsch durch das Plusquamperf. — [3]) imstande — [4]) auch.

D 3. *τίς*; Neutr. *τί*; Gen. *τίνος*; wer? was? — *εὐδαιμονέστατος* 3 Superlativ von *εὐδαίμων* glücklich — *διὰ τί* weswegen? — *οὐδέ* auch nicht, *οὐδὲ εἷς* auch nicht einer = keiner, niemand (Akk. *οὐδὲ ἕνα*) — *πορίζω* verschaffe — *ἔτι* Adv. noch (bei Negation „mehr“: *οὐκ-έτι* nicht mehr).

[1]) Gerede (von) — [2]) = Reisen — [3]) entstammen — [4]) = viele Jahre alt — [5]) *ἐστρατευμένος* (Medium) löse auf durch: da zog er (mit den andern) zu Felde und — [6]) durch seine Tapferkeit (Genetiv *ἑαυτοῦ* = seiner selbst).

D 4. *δεύτερος* 3 der zweite — *Κλέοβις*, *εως* Kleobis — *Βίτων*, *ωνος* Biton — *περί* c. Gen. über, in betreff — *ἡ ἑορτή* das Fest — *οἱ βόες*, G. *τῶν βοῶν* die Ochsen — *ὁ ἀγρός* der Acker — *ἔνθα* da — *τὸ στάδιον* das Stadion, ungefähr $^1/_5$ Kilometer — *ἄριστος* 3 der beste (Superlativ zu *ἀγαθός*) — *καθεύδω* ich schlafe (ein) — *ἐγείρω* wecke, *ἐγείρομαι* wache auf.

[1]) an Geschlecht, der Herkunft nach, (Akk. der Beziehung) — [2]) mit einem Gespann, zu Wagen (in den Tempel gebracht werde) — [3]) ihr, für sie — [4]) zogen — [5]) = ihren Kindern — [6]) was für einen Menschen das beste wäre.

D 5. *ἡ εὐδαιμονία* (*εὐδαίμων*) das Glück, die Glückseligkeit — *φαίνομαι* M. ich scheine — *ὥστε* so dass — *νομίζω* meine, glaube, halte wofür — *οὐδέ* nicht einmal — *πρίν* bevor, ehe — *ταχύ* adverbial „schnell“ — *ἀπο-πέμπομαι* schicke von mir fort — *ἄφρων*, G. *ἄφρονος* unverständig — *παρών*, N. *παρόν*, G. *παρόντος* gegenwärtig, anwesend.

[1]) hielt für die zweiten an Glückseligkeit (Akk. der Beziehung) diese — [2]) ob — [3]) bevor ich gehört habe, daſs Kr. wohl sein Leben beendet hat — [4]) hat die Gottheit schnell ihres Reichtums und Glückes beraubt — [5]) weil — [6]) = Glück.

E 1. *βουλεύομαι* ich überlege — *τὸ μαντεῖον* das Orakel (Spruch und Ort).

[1]) von Gott aus, von seiten der Gottheit — [2]) die Angelegenheiten = die Macht — [3]) *αὐξάνομαι* ich werde vermehrt = ich nehme zu — [4]) *ὅπως . . . παύσαι* (Opt. Aor.) wie er hemmen könnte, (wie er hindern könnte, daſs die Macht der P. zunehme).

E 2. *ὡς* (Temporalpartikel) als, nachdem — *διά* c. Gen. durch (per) — *ἡ Καππαδοκία* Kappadokien — *πρότερον* Adv. früher — *μηκέτι* = *οὐκέτι*) nicht mehr — *ὑστεραῖος* 3 nachherig, darauf folgend — *ἡ ὑστεραία* (*ἡμέρα*) der folgende Tag — *ὀπίσω* zurück.

[1]) Sinn — [2]) den M. unterthänig — [3]) wurden nicht überredet = lieſsen sich nicht überreden, gehorchten nicht — [4]) *ἀμφότεροι* beide, beide Parteien, beide Seiten — [5]) zuletzt — [6]) eine gleiche Schlacht = eine unentschiedene Schlacht.

E 3. *πρίν* (hier mit Akk. c. Inf.) bevor, ehe — *μείζων*, G. *μείζονος* gröſser (Komparativ von *μέγας*) — *ἐνταῦθα* Adv. da, darauf — *ἡ ἀπορία* Verlegenheit — *ὅμως* dennoch — *ἡ πολιορκία* die Belagerung — *κλείω* ich schlieſse ein.

[1]) gesammelt würde, wäre — [2]) Neutrum *ταχύ* als Adverb schnell — [3]) *ἀνδρείως* Adv. tapfer.

E 4. *πιέζω* drücke, bedränge — *ἁλίσκομαι* werde gefangen genommen, werde erobert — *ζωός* 3 lebendig.

[1]) *κατά* c. Akk. gemäſs.

E 5. *καθίζω* (Aor. *ἐκάθισα*) setze, *ἐπί* Präp. auf — *ἡ λεία* die Beute — *μιμνήσκομαι* ich erinnere mich — *τρίς* dreimal — *ἄδηλος* 2 ungewiſs.

[1]) Holzstücke, Holz — [2]) = diesen Teil — [3]) = an das Wort, den Ausspruch des S. — [4]) = mit göttlicher Eingebung — [5]) *μηδένα* daſs keiner — [5]) wen er nenne — [6]) *ᾧ* u. s. w. mit welchem in Unterredung zu kommen — [7]) überredet werden möchten, sollten — [8]) auch — [9]) = löschen.

F 1. *κατεστραμμένος* 3 unterjocht, (Part. Perf. P. von *καταστρέφομαι*) — *ὁ ἰχθύς*, *τοῦ ἰχθύος* der Fisch. Pl. *τῶν ἰχθύων*, *τοὺς ἰχθῦς* — *ὁ αὐλός* die Flöte, *αὐλῷ φθέγγομαι* ich pfeife (auf der Flöte) — *ἡ γῆ* (kontrahiertes Wort) Erde, Land, *γῆς*, *γῇ*, *γῆν* — *τὸ δίκτυον* das Netz — *ἐκ-κομίζω* ich schaffe heraus, ziehe heraus — Med. *κυλίνδομαι* ich wälze mich (ich zappele) — *χορεύω* tanze — *οὐδ'* (*οὐδέ*) auch nicht — *ἕτοιμος* 3 bereit — *ὁ μὲν δὴ* „der also“, oder betontes „der“.

[1]) unter denselben Bedingungen — [2]) *λόγος* Geschichte, Fabel — [3]) sich in seiner Hoffnung täuschte — [4]) *κλείσας* nachdem er eingeschlossen hatte, umschlossen hatte (mit dem Netze) — [5]) Genetivus absolutus: als K. selber sie durch Boten aufgefordert hatte — [6]) nicht gehorcht hatten, sich nicht hatten überreden lassen — [7]) *λεχθέντων εἰς τὰς πόλεις* nachdem es in die Städte gemeldet worden war — [8]) um die Perser zu empfangen, zu erwarten = um die P. abzuwehren.

F 2. *ἐπιτρέπειν* zuwenden, anvertrauen — *ἐμποδών* Adv. hinderlich (*ἐν* u. *πούς*: vor den Füſsen, im Wege).

[1]) = nach Medien und Persien — [2]) = mit sich führend.

F 3. *ἀπ-άγω* (*ἀπῆκτο*) führe weg — *στασιάζω* mache einen Aufruhr *συν-στρατεύομαι* ziehe mit zu Felde (mit jem.: Dat.) — *χαλεπαίνω* bin unwillig, zürne — *καταλύω* löse auf, zerstöre — *κιθαρίζω* ich spiele die

Zither (Laute) — *καπηλεύω* ich bin Krämer — *συμβουλεύω* ich rate jemandem etwas — *οἴκαδε* Adv. nach Hause — *ἀλλάττω* ändere.

[1]) dafs er überlege (*εἰ ἀπάξοι* ob er wegführen solle) — [2]) als Sklaven — [3]) *ἐπίταξον* befiehl (*ὧδε* folgendermafsen) — [4]) *κιθαρίζειν καὶ κ.* ist abhängig von *παιδεύειν*, also: die Knaben *κιθαρίζειν καὶ κ.* zu lehren — [5]) *ἴσον* Akk. N. in gleicher Weise — [6]) von dem Marsche aus, auf dem Marsche — [7]) *κατὰ ταῦτα* gemäfs dem — [8]) *τὸν πάντα βίον* ihre Lebensweise ganz und gar.

F 4. *καταπέμπω* ich schicke (herab, nämlich von dem höher gelegenen Binnenlande an die Meeresküste).

[1]) bewirtet hatte (mit) — [2]) *κατὰ χώραν* an Ort und Stelle, im Lande.

G 1. *κείμενος* 3 gelegen — *πέραν* c. Gen. jenseits — *ὁ Ἀράξης, ου* der Fluſs Araxes — *ὁ ποταμὸς ἐκβάλλει* (ergänze *τὸ ὕδωρ* das Wasser) = mündet in.

[1]) = in das Perserland, nach Persien — [2]) auf, an — [3]) unter sich haben, unter seiner Herrschaft haben.

G 2. *Τόμυρις, εως* Tomyris — *χαρίζομαι* bin gefällig, thue den Willen — *διάγω* führe hindurch, hinüber — *διαβαίνω* gehe hinüber, ziehe hinüber, überschreite — *ἀποτρέπομαι* Med. ich wende mich ab.

[1]) Medium „ausgerichtet hatte" — [2]) = bauen — [3]) zum Kampfe erwarten (in deinem Lande).

G 3. M. *συμβουλεύομαί τινι* ich frage jemand um Rat. (Aktiv *συμβουλεύω* ich rate) — *ἀντιλέγω* widerspreche — *ὅποι* Adv. wohin (nur immer) — *χρήσιμος* 3 nützlich — *κρείττων* Kompar. stärker (Gen.: als) — *ὑπολείπω* lasse zurück — *ῥᾳδίως* Adv. leicht.

[1]) was er thun solle — [2]) übersetze: marschierte — [3]) wie weit — [4]) zurichten, aufstellen — [5]) den schlechten, kampfunfähigen Teil — [6]) mich in meiner Meinung nicht täusche — [7]) da er selbst gegen sie heranziehen wolle.

G 4. *πρόσω* Adv. vorwärts.

[1]) etwas, eine Strecke — [2]) gemäfs — [3]) wie fliehend, scheinbar fliehend — [4]) die Zurückgelassenen aus dem Heere — [5]) *λαμβάνω* nehme gefangen.

G 5. *ὁ δεσμός* die Fessel — *διαπράττομαι* Med. ich setze durch, erlange — *ὁ ἀσκός* der Schlauch — *τὸ αἷμα, ατος* Blut — *ἡ ἐπιθυμία* Begierde — *σημαίνω* bezeichne, deute an.

[1]) wörtlich: „als ihn der Weinrausch verliefs" — [2]) die Hauptmasse, den gröfsten Teil.

*) Die weitere Angabe der Beihülfe zur Schülerpräparation unterbleibt aus Mangel an Raum; desgleichen erscheint der Druck des für die Lektüre nötigen alphabetischen Lexikons an dieser Stelle überflüssig.